1880. ΓΡΑΜΜΑΤΑ ΠΑΤΡΙΑΡΧ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

30
10
Λαμπ. τ. 304 δε.4

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΤΑ ΤΟΥ ΕΥΣΕΒΕΣΤΑΤΟΥ

# ΒΑΣΙΛΕΩΣ

## ΚΑΙ ΤΩΝ ΑΓΙΩΤΑΤΩΝ

# ΠΑΤΡΙΑΡΧΩΝ

## ΓΡΑΜΜΑΤΑ

ΠΕΡΙ ΤΗΣ ΣΥΣΤΑΣΕΩΣ ΤΗΣ ΑΓΙΩΤΑΤΗΣ ΣΥΝΟΔΟΥ,

μετ᾽ ἐκθέσεως τῆς ὀρθοδόξȣ πίςεως τῆς Ἀνατολικῆς Καθολικῆς Ἐκκλησίας.

Γερμανοῦ Ἱεροδ. Καλλιγᾶ

ΒΙΒΛΙΟΘΗΚΗ
568
ΙΩ. ΒΛΑΧΟΓΙΑΝΝΗ

ΙΩΑΝΝΗΣ Κ. ΒΗΧΑΣ
ΕΦΟΡ. ΕΙΣΑΓΩΓΗΣ

ΕΝ ΠΕΤΡΟΥΠΟΛΕΙ.
Ἐκ τȣ̃ ἐργαςηρίȣ τῆς Ἁγιωτάτης Συνόδȣ.
1840.

Τῇ εὐλογίᾳ τῆς Ἁγιωτάτης Συνόδȣ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΓΡΑΜΜΑ

## ΤΟΥ ΙΜΠΕΡΑΤΟΡΟΣ ΠΕΤΡΟΥ ΤΟΥ ΠΡΩΤΟΥ,

πρὸς τὸν Πατριάρχην Κωνσταντινȣπόλεως Ἱερεμίαν.

Τῷ Παναγιωτάτῳ, σοφωτάτῳ τε καὶ λογιωτάτῳ Οἰκȣμενικῷ Πατριάρχῃ Νέας Ῥώμης, Κυρίῳ, Κυρίῳ Ἱερεμίᾳ, τῷ ἐν Χριςῷ Ἡμῶν Πατρὶ, τὸ ἀνῆκον σέβας· χαίρειν ἀδελφικῶς προσαγορεύομεν.

Ὡς εὐπειθὴς υἱὸς τῆς περιποθήτου ἡμῶν Μητρὸς, Ὀρθοδόξου, Καθολικῆς Ἐκκλησίας, διατηρῶν πάντοτε τὴν εὐλάβειαν πρὸς τὴν Ὑμετέραν Παναγιότητα, ὡς πρῶτον αὐτῆς τῆς Ὀρθοδόξου Καθολικῆς Ἐκκλησίας Ἀρχιποιμένα, καὶ κατὰ πνεῦμα Ἡμῶν Πατέρα, ἐκρίναμεν ἀναγκαῖον γνωςοποιῆσαι ταῦτα· Ἐπειδὴ μεταξὺ τῶν πολλῶν, κατὰ τὸ χρέος τῆς παρὰ Θεȣ̃ δοθείσης Ἡμῖν ἐξȣσίας, φροντίδων περὶ τῆς βελτιώσεως τῆς παρὰ Θεοῦ ἐγχειρισθείσης Ἡμῖν Βασιλείας καὶ τῶν ὑποκειμένων λαῶν, ἐςρέψαμεν τοὺς ὀφθαλμοὺς καὶ τὴν προσοχὴν Ἡμῶν καὶ εἰς τὴν Ἐκκλησιαςικὴν Διοίκησιν, καὶ εἰς τὸ Ἱερατεῖον, καὶ ἰδόντες ἐν αὐτῷ οὐκ ὀλίγας ἀκαταςασίας, καὶ τὰς ὑποθέσεις αὐτοῦ οὐκ ἐν ὀφειλομένῃ εὐταξίᾳ, οὐ μάταιον ἀνελάβομεν ἐν τῷ Ἡμῶν συνειδότι φόβον, ἵνα μήπως φανῶμεν ἀγνώμονες τῇ πανσόφῳ Θείᾳ Προνοίᾳ, εἴπερ τοσούτων ἀξιωθέντες παρ᾽ αὐτῆς εὐοδώσεων εἰς τὴν βελτίωσιν, ὅσον τοῦ ςρατιωτικȣ̃, τόσον καὶ τοῦ πολιτικȣ̃ τάγματος, ἀμελήσομεν τὴν διόρθωσιν τῆς τε Ἐκκλησιαςικῆς Διοικήσεως καὶ τοῦ Ἱερατείου, καὶ

ἵνα μὴ εὑρεθῶμεν ἀναπολόγητοι, ὅτε ὁ ἀπροσωπόληπτος Κριτὴς μέλλει ζητεῖν παρ᾽ Ἡμῶν λόγον περὶ τῆς τοσαύτης παρ᾽ Αὐτοῦ ἐγχειρισθείσης Ἡμῖν ἐπιςασίας. Ὅθεν κατὰ τὸ παράδειγμα τῶν πρώτων ἔν τε τῇ Παλαιᾷ καὶ ἐν τῇ Νέᾳ Διαθήκῃ εὐσεβῶν Βασιλέων, ἀναλαβόντες φροντίδα καὶ ζῆλον ἕνεκα τῆς τε Ἐκκλησιαςικῆς διορθώσεως καὶ τȣ̃ Ἱερατείου, καὶ μὴ ἔχοντες εἰς τȣ̃το ἁρμοδιώτερον μέσον, παρὰ τὴν Συνοδικὴν Διοίκησιν, διὰ τοῦτο μετὰ πολλὴν ὀρθὴν κρίσιν καὶ βουλὴν μετά τε τȣ̃ Ἱερατείȣ καὶ τȣ̃ τῶν λαϊκῶν τάγματος τȣ̃ Ἡμετέρȣ Βασιλείου, ἐνεκρίναμεν συςῆσαι Πνευματικὴν Σύνοδον, ἰσοδυναμȣ̃σαν τοῖς Πατριάρχαις, ὅ ἐςι, μίαν ἀνωτάτην πνευματικὴν Διοικητικὴν Ὁμήγυριν, πρὸς κυβέρνησιν τῆς Ῥωσσικῆς Ἐκκλησίας τȣ̃ Ἡμετέρου Βασιλείου Κράτȣς, ἀπὸ ἄξια ἱερωμένα ὑποκείμενα Ἀρχιερέων τε καὶ Κοινοβιαρχῶν, ἀποχρῶντα τὸν ἀριθμὸν, καὶ διετάξαμεν Ἡμετέρῳ θεσπίσματι πᾶσι τοῖς ὑπηκόοις Ἡμῶν, κληρικοῖς τε καὶ λαϊκοῖς λογίζεσθαι ταύτην σεβασμίαν καὶ ἱκανὴν Διοίκησιν, καὶ ὑπήκειν αὐτῇ τῇ Συνόδῳ ἐν πᾶσι τοῖς Ἐκκλησιαςικοῖς πράγμασι, καθὼς ὑπετάσσοντο τοῖς πρότερον Πατριάρχαις πάσης Ῥωσσίας. Ταύτῃ τε τῇ Ἱερᾷ καὶ Ἁγιωτάτῃ Συνόδῳ διωρίσαμεν, διὰ τῆς γενομένης διατάξεως, ὅπως διοικῶσι τὴν Ἁγίαν Ἐκκλησίαν ἐν πᾶσιν ἀπαραλλάκτως κατὰ τὰ δόγματα τῆς Ἁγίας Ὀρθοδόξȣ, Καθολικῆς Ἐκκλησίας τȣ̃ Ἀνατολικοῦ δόγματος, καὶ κατέχωσι ταῦτα τὰ δόγματα ὡς κανόνα ἀλάνθαςον τῆς Ἐκκλησιαςικῆς διοικήσεως, ἐφ᾽ ᾧ δι᾽ ὁρκωμοσίας ἔνδον τῆς Ἁγίας Καθολικῆς Ἐκκλησίας, ἀσπασθέντες τὸν τίμιον Σταυρὸν, καὶ ἰδιοχείρως ὑπογραφέντες, ὑποχρέωσαν ἑαυτȣ̀ς εἰς τȣ̃το. Πεποίθαμεν ȣ̃ν ὅτι καὶ ἡ Ὑμετέρα Παναγιότης, ὡς πρῶτος Ἀρχιερεὺς τῆς Ὀρθοδόξȣ, Καθολικῆς καὶ Ἀνατολικῆς Ἐκκλησίας, τὸ Ἡμέτερον

τȣ̃το διάταγμα καὶ τὴν συϛηθεῖσαν Πνευματικὴν Σύνοδον, εὐδοκήσαντες ὁμολογήσετε δίκαιον, καὶ περὶ τȣ́τȣ διακοινώσετε τοῖς λοιποῖς Μακαριωτάτοις Πατριάρχαις, τῷ τε Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων.

Ἐπειδὴ δὲ Ἡμεῖς πανευμενῶς προσετάξαμεν ταύτῃ τῇ Ἁγιωτάτῃ Πνευματικῇ Συνόδῳ ἔχειν μετὰ τῆς Ὑμετέρας Παναγιότητος ἀναφορὰν καὶ ἀλληλογραφίαν ἐν πάσαις ταῖς Ἐκκλησιαϛικαῖς ὑποθέσεσι· ἀξιοῦμεν καὶ τὴν Ὑμετέραν Παναγιότητα, ὅπως εὐδοκήσαντες διατηρῆτε μετὰ τῆς Συνόδȣ ταύτης ἀλληλογραφίαν καὶ ἀναφορὰν περὶ τὰς πνευματικὰς ὑποθέσεις, ὅσαι συντελȣ̃σιν εἰς τὸ συμφέρον τῆς Ἐκκλησίας, ὥσπερ καὶ πρότερον τȣ̃το διετηρεῖτο μετὰ τῶν Πατριαρχῶν πάσης Ῥωσσίας. Εἰ δέ ποτε ἐξαιτήσωνται παρὰ τῆς Ὑμετέρας Παναγιότητος ὁποίαν δήτινα καλὴν συμβȣλὴν πρὸς ὤφελος καὶ κρείττονα οἰκονομίαν τῆς Ἐκκλησίας, παρακαλȣ̃μεν ἐν τοιαύτῃ περιϛάσει μὴ ἀπαξιῶσαι αὐτοὺς τούτȣ διὰ τὸ κοινὸν συμφέρον τῶν ὀρθοδόξων, ἐφ᾽ ᾧ Ἡμεῖς μετ᾽ ἰδιαζȣ́σης πρὸς τὴν Ὑμετέραν Παναγιότητα εὐμενείας Ἡμῶν ὑποσχόμεθα ἐνδεικνύειν πᾶσαν συγκατάβασιν πρὸς τὰ Ὑμέτερα ζητήματα.

Ἐν τοσούτῳ κοινοποιοῦμεν πρὸς τὴν Ὑμετέραν Παναγιότητα καὶ περὶ τοῦ, ὅτι ἀφάτοις κρίμασιν ὁ ὕψισος Θεὸς κατὰ τὴν πρὸς Ἡμᾶς ὑπερβάλλουσαν Αὐτοῦ εὐσπλαγχνίαν ηὐδόκησε χαρίσασθαι Ἡμῖν τὸ Θεῖον Αὐτοῦ ἔλεος, εὐλογήσας καὶ χαροποιήσας Ἡμᾶς τε καὶ τὸν Ἡμέτερον λαόν· ἐπειδὴ κατὰ τὸ ἐνεϛὸς ἔτος, τῇ 30 Αὐγούϛου ὁ διαρκέσας μεταξὺ Ἡμῶν καὶ τῆς Σβεκίας πολυχρόνιος καὶ σκληρὸς πόλεμος ὑπὲρ τὴν εἰκοσαετίαν, διὰ τῶν εὐτυχῶν καὶ τροπαιοφόρων Ἡμετέρων ὅπλων ἔλαβεν αἴσιον τέλος ἐν τῇ συνελεύσει, τῇ γενομένῃ ἐν τῇ πόλει Νεϊϛάτ. Διὰ γὰρ τῶν πληρε-

ἑσίων ὑποκειμένων ἀμφοτέρων τῶν μερῶν, συνεφωνήθη μεταξὺ Ἡμῶν καὶ τῆς Σβεκίας αἰώνιος εἰρήνη, καὶ τοιετοτρόπως ἡ Σβεκία παρεχώρησεν Ἡμῖν, ἵνα διὰ παντὸς κυριεύωμεν τὰς διὰ τῶν ὅπλων Ἡμῶν πολεμηθείσας τοπαρχίας κατὰ τὸν αἰγιαλὸν τῆς Βαλτικῆς θαλάσσης, Ληβονίαν, Αἰςλανδίαν, Ἰγγερμονλανδίαν, καὶ μέρος τι τῆς Καρελίας καὶ τȣ̃ Πριγκιπάτȣ τῆς Φινλανδίας σὺν πάσαις ταῖς πόλεσι, καὶ χώραις καὶ λιμέσι, τȣτέςι τὰς ἐπισημοτέρας ἐν ταύταις ταῖς τοπαρχίαις πόλεις καὶ φρȣ́ρια· Ῥίγα, Δυναμένδ, Περνόφ, Ῥεβέλι, Δέρπτ, Νάρβα, Βίπορχ, Κεκσγόλμ. Οὐκ ἀμφιβάλλομεν δὲ, ὅτι αὕτη ἡ συμφωνία Ἡμῶν τῆς παντοτινῆς εἰρήνης, καὶ ἡ ἐπακολȣθήσασα τῷ Ἡμετέρῳ Βασιλείῳ αὔξησις ἔςαι εὐχάριςον καὶ χαρᾶς πρόξενον Ὑμῖν, ὡς εὐχέτῃ Ἡμῶν καὶ Ἀνωτάτῳ Ἀρχιποιμάντορι. Ἐλπίζομεν δὲ μετὰ παρακλήσεως, ὅτι ἡ Ὑμετέρα Παναγιότης ȣ̓ διαλείψητε μεθ᾽ ὅλȣ τοῦ Ἱερατείȣ ἀναπέμπειν τῷ Πανυψίςῳ Θεῷ ὕμνον καὶ εὐχαριςίαν ἕνεκα τοῦ ἐκχυθέντος ἐφ᾽ Ἡμᾶς τοσούτου Θείȣ ἐλέȣς, καὶ τȣ̃ λοιπȣ̃ ἱκετεύειν τὴν ἄπειρον Αὐτȣ̃ ἀγαθότητα ὑπὲρ τȣ̃ δωρηθῆναι τῷ Ἡμετέρῳ Κράτει εὐςάθειαν, εἰρήνην καὶ γαλήνην. Τȣ́τȣ ἕνεκα Ἡμεῖς ὑποχρεούμεθα ἀποδȣ̃ναι τῇ Ὑμετέρᾳ Παναγιότητι τὴν ὀφειλομένην εὐγνωμοσύνην, ἐπαξίως ἀμείβοντες Ὑμᾶς.

Οὕτω τοίνυν διατελȣ̃μεν πάντοτε τῆς Ὑμετέρας Παναγιότητος, τȣ̃ κατὰ πνεῦμα Πατρὸς καὶ Ἀνωτάτȣ Οἰκȣμενικȣ̃ Ἀρχιποιμένος ὁ κατὰ πνεῦμα υἱὸς καὶ πρόθυμος.

Ἐξεδόθη ἐν Πετρȣπόλει, τῇ 30 Σεπτεμβρίȣ 1721.

Τὸ τοιȣ̃τον ἐν τῇ Ῥωσσικῇ διαλέκτῳ πρωτότυπον γράμμα ἡ Αὐτȣ̃ Βασιλικὴ Μεγαλειότης εὐηρεςήθη ὑπογράψαι ἰδιοχείρως.

# ΓΡΑΜΜΑΤΑ
## ΤΩΝ ΑΓΙΩΤΑΤΩΝ ΠΑΤΡΙΑΡΧΩΝ
### πρὸς τὴν Ἁγιωτάτην Σύνοδον.

### 1.

Ἱερεμίας, ἐλέῳ Θεοῦ, Ἀρχιεπίσκοπος Κωνςαντινουπόλεως καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἡ μετριότης Ἡμῶν, διὰ τῆς χάριτος καὶ ἐξουσίας τοῦ Παναγίου, Ζωοποιοῦ καὶ Τελεταρχικȣ Πνεύματος, ἐπικυροῖ, βεβαιοῖ καὶ ἀποφαίνει τὴν, παρὰ τοῦ Εὐσεβεςάτου καὶ Γαληνοτάτου Αὐτοκράτορος, ἁγίου Βασιλέως πάσης Μοσχοβίας, μικρᾶς καὶ λευκῆς Ῥωσσίας καὶ πάντων τῶν Βορίων, Ἀνατολικῶν, Δυτικῶν καὶ ἄλλων πολλῶν μερῶν Κατεξουσιαςοῦ Κυρίου, Κυρίου Πέτρου Ἀλεξιάδου Ἰμπεράτορος, τοῦ κατὰ Πνεῦμα τὸ Ἅγιον ἀγαπητοῦ καὶ περιποθήτου αὐτῆς, διορισθῆσαν Σύνοδον ἐν τῇ Ῥωσσικῇ ἁγίᾳ μεγάλῃ Βασιλείᾳ εἶναι καὶ λέγεσθαι Ἡμετέρα ἐν Χριςῷ Ἀδελφὴ, Ἁγία καὶ Ἱερὰ Σύνοδος παρὰ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριςιανῶν, ἱερομένων τε καὶ λαϊκῶν, ἀρχόντων καὶ ἀρχομένων, καὶ ἀπὸ παντὸς προσώπȣ ἀξιωματικοῦ. Καὶ ἔχει ἄδιαν τελεῖν καὶ ἐπιτελεῖν ὅσα οἱ τέσσαρες Ἀποςολικοὶ Ἁγιώτατοι Πατριαρχικοὶ Θρόνοι· νουθετεῖ, παραινεῖ καὶ ἐπιτάττει αὐτὴν, ἵνα διαφυλάττῃ καὶ κρατῇ ἀπαρασάλευτα ἔθη καὶ κανόνας τῶν Ἱερῶν Οἰκουμενικῶν Ἁγίων ἑπτὰ Συνόδων, καὶ ἄλλα ὅσα ἡ

Ἀνατολικὴ Ἁγία Ἐκκλησία διακρατεῖ,—καὶ διαμένῃ εἰς αἰῶνα τὸν ἅπαντα ἀπαρασάλευτος. Ἡ δὲ τῦ Θεοῦ χάρις καὶ εὐχὴ καὶ εὐλογία τῆς Ἡμῶν μετριότητος εἴη μετ᾿ Αὐτῆς. ͵αψκγ. Σεπτεμβρίου κγ΄.

Ἱερεμίας, ἐλέῳ Θεοῦ, Ἀρχιεπίσκοπος Κωνςαντινυπόλεως καὶ ἐν Χριςῷ Ἀδελφὸς Ὑμῶν.

## 2.

**Ἀθανάσιος, ἐλέῳ Θεοῦ, Πατριάρχης τῆς μεγάλης τȣ̃ Θεοῦ πόλεως Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς.**

Ἡ μετριότης Ἡμῶν, διὰ τῆς χάριτος καὶ ἐξεσίας τȣ̃ Παναγίȣ, Ζωοποιȣ̃ καὶ Τελεταρχικȣ̃ Πνεύματος, ἐπικυροῖ, βεβαιοῖ καὶ ἀποφαίνει τὴν, παρὰ τȣ̃ Εὐσεβεςάτȣ καὶ Γαληνωτάτȣ Αὐτοκράτορος, ἁγίȣ Βασιλέως πάσης Μοσχοβίας, μικρᾶς καὶ λευκῆς Ῥωσσίας καὶ πάντων τῶν Βορίων, Ἀνατολικῶν καὶ Δυτικῶν ἄλλων μερῶν Κατεξȣσιαςȣ̃ Κυρίȣ, Κυρίȣ Πέτρȣ Ἀλεξιάδου, τοῦ κατὰ Πνεῦμα τὸ Ἅγιον ἀγαπητοῦ καὶ περιποθήτου αὐτῆς, Ἰμπεράτορος, διορισθῆσαν Σύνοδον ἐν τῇ Ῥωσσικῇ ἁγίᾳ μεγάλῃ Βασιλείᾳ εἶναι καὶ λέγεσθαι Ἡμετέρα ἐν Χριςῷ Ἀδελφὴ, Ἁγία καὶ Ἱερὰ Σύνοδος παρὰ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριςιανῶν, ἱερομένων τε καὶ λαϊκῶν, ἀρχόντων καὶ ἀρχομένων, καὶ ἀπὸ παντὸς προσώπου ἀξιωματικȣ̃. Καὶ ἔχει ἄδιαν ἐπιτελεῖν ὅσα οἱ τέσσαρες Ἀποςολικοὶ Ἁγιώτατοι Πατριαρχικοὶ Θρόνοι· νȣθετεῖ, παραινεῖ καὶ ἐπιτάττει, ἵνα διαφυλάττῃ καὶ κρατῇ ἀπαρασάλευτα ἔθη καὶ κανόνας τῶν Ἱερῶν Οἰκȣμενικῶν Ἁγίων ἑπτὰ Συνόδων, καὶ ἄλλα ὅσα ἡ Ἀνατολικὴ Ἁγία Ἐκκλησία διακρατεῖ,—καὶ διαμένῃ εἰς αἰῶνα τὸν ἅπαντα ἀπαρασάλευτος. Ἡ δὲ τȣ̃ Θεȣ̃ χάρις καὶ ἡ εὐχὴ καὶ εὐλογία τῆς Ἡμῶν μετριότητος εἴη μετ' Αὐτῆς. ͵αψκγ. Σεπτεμβρίȣ κγ΄.

## 3.

### Ἱερεμίας, ἐλέῳ Θεοῦ, Ἀρχιεπίσκοπος Κωνσαντινοπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Τῇ Εὐσεβεστάτῃ, Ἱερᾷ καὶ Ὀρθοδοξωτάτῃ Ῥωσσικῇ Ἁγίᾳ Συνόδῳ, τῇ ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῇ Ἀδελφῇ, εὐχὴν, εὐλογίαν παρὰ Θεοῦ, καὶ τὸν ἐν Χριςῷ ἀσπασμὸν, ἐν φιλήματι ἁγίῳ, ἐπιχορηγοῦμεν. Ἰδοὺ καὶ Ἀυτῇς σαφηνίζομεν, μετὰ τὴν ἀπόκρισιν τῶν προβαλλομένων καὶ ζητουμένων παρὰ τῶν ἐν μεγάλῃ τῇ Βρεττανίᾳ οἰκούντων, διὰ τὰ ὁποῖα εἰς πλάτος καὶ ἀρκετῶς, μετὰ τῶν ἐνθάδε εὑρισκομένων ἄλλων Συναδελφῶν Ἡμῶν Πατριαρχῶν, ἐγράψαμεν καὶ ὑπογράψαμεν καὶ Ἀδελφὴν Ἀυτὴν ὀνομάσαμεν. Ὁ δὲ Ἀλεξανδρείας ἐδιέβη εἰς τὰς αἰωνίους μονὰς, καὶ κατὰ τὸ παρὸν ζητεῖται ἁρμόδιον ὑποκείμενον διὰ τὸν θρόνον. Ὁ δὲ Ἱεροσολύμων, μετὰ τὸ ὑπογράψαι εἰς τὴν τε ὀρθόδοξον ὁμολογίαν, καὶ εἰς τὸ γράμμα, τὸ διὰ τὴν ὀρθόδοξον ὁμολογίαν γεγενημένον, ἀσθένησε καὶ εἶναι κλινήρης. Διὰ τοῦτο ἔμεινεν ἰδίως ἕκαςος Ἡμῶν κυρώσας καὶ βεβαιώσας τῇ Ἱερᾷ ταύτῃ Συνόδῳ κατὰ τὴν αἴτησιν, καὶ, ὡς περιέχει τῆς ἐπικυρώσεως, ἡ μετριότης Ἡμῶν ἐπικύρωσε, ὡσάυτως καὶ ὁ Συναδελφὸς Ἡμῶν Μακαριώτατος Πατριάρχης Ἀντιοχείας, ὡς φαίνεται καὶ ἡ ἀυτοῦ ἐπικύρωσις. Καὶ μετὰ ταῦτα ἔχομεν τὴν φροντίδα διὰ τῶν ἄλλων τὴν ἐπικύρωσιν, ἂν ζητηθῇ, ὅτι ἀρκετῶς ἔχει. Ἐὰν δὲ καὶ ἄλλο τι τῶν ζητουμένων τύχῃ, ἂς ἔχομεν ἐλευθέρως τὴν εἴδησιν. Ἡ δὲ χάρις τοῦ Θεοῦ καὶ εὐχὴ καὶ ἡ εὐλογία τῆς Ἡμῶν μετριότητος εἴη μετ᾽ Ἀυτῆς. ͵αψκγ. Σεπτεμβρίου κγ΄.

4.

Ὁ Ἱερεμίας, ἐλέῳ Θεοῦ, Ἀρχιεπίσκοπος Κωνςαντινεπόλεως, νέας Ῥώμης, καὶ Οἰκεμενικὸς Πατριάρχης.
Ὁ Ἀθανάσιος, ἐλέῳ Θεοῦ, Μακαριώτατος Πατριάρχης Θεοῦ πόλεως Ἀντιοχείας.
Ὁ Χρύσανθος, ἐλέῳ Θεοῦ, Μακαριώτατος Πατριάρχης ἁγίας πόλεως Ἱερουσαλὴμ.

Τῇ Ἁγίᾳ καὶ Ἱερᾷ Συνόδῳ τὴν Ἀποςολικὴν εὐλογίαν, καὶ τὸν ἐν Χριςῷ ἀσπασμόν.

Περὶ τῶν προβαλλομένων καὶ ζητουμένων παρὰ τῶν ἐν τῇ μεγάλῃ Βρετανίᾳ ἐγγράψαμεν προλαβόντως Ὑμῖν τε κἀκείνοις, ὅτι μετέπειτα ποιήσομεν τὰς ἀποκρίσεις. Τὰ νῦν δε διελθόντες τὰ παρ᾽ ἐκείνων Ἡμῖν αὖθις γεγραμμένα, καὶ ἐγνωκότες τὴν ἔννοιαν τούτων, ἰδὲ πλατύτερον καὶ πληρέςερον γράφοντες πέμπομεν τὴν ἔκθεσιν καὶ τὸ φρόνημα τῆς Ὀρθοδόξε πίςεως τῆς καθ᾽ ἡμᾶς τε Χριςοῦ Ἁγίας καὶ Καθολικῆς Ἀνατολικῆς Ἐκκλησίας, ἥτις ἔκθεσις ἐςὶ καὶ ἀπόκρισις ἀκριβὴς πρὸς πάσας τὰς προτάσεις τῶν ὑπ᾽ ἐκείνων προβαλλομένων, καὶ ἐκτὸς ταύτης οὐδὲν ἄλλο ἔχομεν εἰπεῖν καὶ ἀποκριθῆναι. Συμβουλεύομεν δὲ καὶ τῇ Ὑμετέρᾳ Ἀδελφικῇ Σεβασμιότητι, ὅτι ὥσπερ ἐξ ἀρχῆς δεξάμενοι κρατεῖτε καὶ φρονεῖτε ἐξ ὅλης ψυχῆς καὶ καρδίας καὶ Χριςιανικῆς εὐλαβείας τὰ δόγματα τῆς Ὀρθοδόξου πίςεως τῆς καθ᾽ ἡμᾶς Ἀνατολικῆς Ἁγίας τοῦ Χριςε Ἐκκλησίας, ὅτω καὶ ἀπὸ τε νῦν καὶ εἰς τὸ ἑξῆς διατελεῖτε ἐμμένοντες ἀμεταθέτως καὶ ἀπαρασαλεύτως τοῖς αὐτοῖς εὐσεβέσι τῆς Ὀρθοδοξίας δόγμασιν, ὅροις τε καὶ ἐντάλμασι, καὶ ἐπιτάγμασι πρός τε τὴν βασιλεύεσαν

καὶ ἅπασαν, τὴν τελῦσαν εἰς τὴν ἐπικρατείαν αὐτῆς, Ἐκκλησίαν, ὥςε δηλαδὴ μηδόλως διαλέξεις τινὰς ἄλλας ποιεῖν τε ποτὲ, καὶ προβάλλειν πρὸς τοὺς εἰρημένȣς περὶ τῶν Θείων δογμάτων τῆς εὐσεβȣ̃ς ἡμῶν πίςεως καὶ Ὀρθοδοξίας, ἅτε προεξετασθέντων αὐτῶν τούτων τῶν ὀρθοδόξων δογμάτων, καὶ διαταχθέντων πάλαι δι᾽ ἀκριβείας μετ᾽ ὀρθῆς σκέψεως παρὰ τῶν Ἁγίων καὶ Οἰκȣμενικῶν Συνόδων καὶ τῶν Θεοφόρων Ἁγίων Πατέρων· παραδοθέντων τε καὶ πρεσβευομένων διηνεκῶς καὶ ἀπαραιτήτως παρὰ τῇ Ἁγίᾳ καὶ Καθολικῇ ἡμῶν Ἐκκλησίᾳ, ὡς διετάχθησαν καὶ ὡρίσθησαν· καὶ οἷς οὔτε προσθεῖναι ἄλλό τι ἔξεσιν, οὔτε μὴν ἀφαιρῆσαί τι ὅλως ἐκ τούτων. Ἐπὶ τούτοις δὲ καὶ τὸ πλήρωμα πάντων ἁπαξαπλῶς τῶν Ἁγίων Πατέρων ἡμῶν ἐρειδόμενον τε καὶ ἐπιςεριζόμενον Θεῷ τε, ὡς εὐσεβεῖς, εὐηρέςησαν, καὶ τῶν αἰωνίων ἀγαθῶν (τȣ̀ς γὰρ ἄλλως φρονȣ̃ντας, ὡς μὴ ὀρθῶς φρονοῦντας, ἀδύνατον εὐαρεςῆσαι Θεῷ, καὶ ἐπιτυχεῖν τῆς Θείας μακαριότητος) τῆς βασιλείας τῶν οὐρανῶν ἠξιώθησαν, ἐδοξάσθησαν τε καὶ μακαρίζονται. Καὶ Ὑμεῖς ȣ̃ν, εἴπερ σκοπὸν ἔχετε, καὶ βούλεσθε γράψαι καὶ ἀποκριθῆναι πρὸς ἐκείνȣς, ȣ̔́τω πάντως γράψετε λέγοντες, ὅτι τȣ̃το ἐςὶ τὸ Ἡμέτερον τῆς Ἀνατολικῆς Ἐκκλησίας φρόνημα, καθὼς δηλοποιεῖ καὶ παρίςησιν ἡ νῦν παρ᾽ Ἡμῶν πρὸς ἐκείνους πεμπομένη, ὡς εἴρηται, ἔκθεσις Ὀρθοδοξίας. Οὕτω γὰρ, καὶ ȣ̓κ ἄλλως ἡ ἕνωσις γενήσεται, καὶ τὸ ἓν ἔσονται μεθ᾽ Ἡμῶν, εἴγε δηλονότι ὁμόφρονες Ἡμῖν, καὶ ὁμόδοξοι θελήσωσιν εἶναι. Γένοιτο δὲ σὺν Θεῷ, τῷ θέλοντι πάντας ἀνθρώπȣς σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, γενέσθαι καὶ παρ᾽ ἐκείνοις τὴν ἐπίκρισιν, καὶ εἰς αὐτὰ ταῦτα ὁμοφρόνως Ἡμῖν συγκατάθεσιν, κατὰ τὴν Θείαν θέλησιν καὶ ἀρέσκειαν, εἰς ψυχωφελῆ καὶ σωτηριώδη κατάςασιν. Ταῦτα. Ἡ δὲ τȣ̃ τὰ πάντα ἐφορῶντος

καὶ προνοητȣ͂ τῶν ὅλων Θεȣ͂ χάρις εἴη διαφυλάττεσα τὴν Ὑμετέραν σεβασμιωτάτην καὶ ὀρθόδοξον Ἐπίταξιν, ἐῤῥωμένην καὶ εὐφραινομένην ἐν ἀδιαπτώτῳ εὐτυχίᾳ καὶ εὐδοξίᾳ μακροβιότητος, καὶ κατευοδουμένην τε καὶ προκόπτουσαν, τῇ Ἀυτοῦ Θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ, εἰς πᾶν ἔργον ἀγαθὸν καὶ σωτήριον. Ἐν ἔτει ͵αψκγ μηνὶ Σεπτεμβρίῳ.

Ἱερεμίας, ἐλέῳ Θεȣ͂, Πατριάρχης Κωνςαντινȣπόλεως, εὐχέτης διάπυρος καὶ ἐν Χριςῷ Ἀδελφὸς Ὑμῶν.

Ἀθανάσιος, εὐχέτης διάπυρος καὶ ἐν Χριςῷ Ἀδελφὸς Ὑμῶν.

Ἐλέῳ Θεȣ͂ Πατριάρχης Ἱεροσολύμων Χρύσανθος, καὶ ἐν Χριςῷ εὐχέτης καὶ Ἀδελφὸς Ὑμῶν.

# ΕΠΙΣΤΟΛΗ

## ΤΩΝ ΑΓΙΩΤΑΤΩΝ ΠΑΤΡΙΑΡΧΩΝ ΤΗΣ ΚΑΘΟΛΙΚΗΣ ΑΝΑΤΟΛΙΚΗΣ ΕΚΚΛΗΣΙΑΣ ΠΕΡΙ ΤΗΣ ΟΡΘΟΔΟΞΟΥ ΠΙΣΤΕΩΣ.

Ὁ παναγιώτατος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης Ἱερεμίας.

Ὁ μακαριώτατος Πατριάρχης Θεοῦ πόλεως Ἀντιοχείας Ἀθανάσιος.

Ὁ μακαριώτατος Πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ Χρύσανθος.

Καὶ οἱ εὑρισκόμενοι Ἱερώτατοι Ἀρχιερεῖς, Μητροπολῖται δηλαδὴ, Ἀρχιεπίσκοποι καὶ Ἐπίσκοποι, καὶ τὸ σύστημα ὅλου τοῦ Χριστιανικοῦ, Ἀνατολικοῦ τε καὶ Ὀρθοδόξου Κλήρου,

Τοῖς ἐν τῇ μεγάλῃ Βρετανίᾳ αἰδεσιμωτάτοις Ἀρχιεπισκόποις τε καὶ Ἐπισκόποις, καὶ τῷ περὶ αὐτοὺς εὐλαβεστάτῳ Κλήρῳ, ἐν Χριστῷ περιποθήτοις, τὸν ἐν Πνεύματι Ἁγίῳ ἀδελφικὸν ἀσπασμὸν, καὶ πᾶν ἀγαθὸν ἐκ Θεοῦ καὶ σωτήριον.

Τὸ ἀνταποκριτικὸν καὶ ἀνταμειπτικὸν πρὸς τὰς προπεμφθείσας παρ' Ἡμῶν ἀποκρίσεις γράμμα ὑμῶν, ἐν εἴδει βιβλιαρίου, ἐλάβομεν. Ἐξ οὗ ἐγνωκότες τὴν καλὴν ὑμῶν ὑγείαν, καὶ ὃν ἔχετε ζῆλον καὶ εὐλάβειαν πρὸς τὴν καθ' ἡμᾶς Ἀνατολικὴν Ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν, οὐ μετρίως ἐχάρημεν, ἀποδεξάμενοι, ὡς εἰκὸς, τὴν εὐλαβητικὴν ὑμῶν εὐγνωμοσύνην, καὶ ἣν ἔχετε σπουδὴν,

καὶ προθυμίαν πρὸς τὴν ἕνωσιν τῶν Ἐκκλησιῶν, ἥτις ἕνωσις ἐςὶ τὸ ςήριγμα τῶν πιςῶν, καὶ ἐν ᾗ ὁ Κύριος Ἰησοῦς Χριςὸς καὶ Θεὸς ἡμῶν εὐαρεστεῖται, Ὅςις καὶ γνώρισμα τῆς πρὸς Αὐτὸν οἰκειώσεως δέδωκε τοῖς ἱεροῖς Αὐτοῦ Μαθηταῖς καὶ Ἀποςόλοις τὴν πρὸς ἀλλήλους ἀγάπην, ὁμόνοιάν τε καὶ ὁμοφροσύνην. Κατὰ τὴν ὑμετέραν οὖν ἀξίωσιν, ἰδοὺ συντόμως ἀποκρινόμεθα ὑμῖν λέγοντες, ὅτι διελθόντες ἐσκεμμένως τὰ παρ᾽ ὑμῶν αὖθις γραφόμενα, κατελάβομεν τὴν ἔννοιαν τῶν γεγραμμένων, περὶ ὧν οὐκ ἔχομεν ἄλλο τὶ εἰπεῖν, εἰ μὴ ὅτι, κατὰ τὴν προφανερωθεῖσαν παρ᾽ Ἡμῶν γνώμην καὶ δόξαν τῆς καθ᾽ ἡμᾶς Ἀνατολικῆς Ἐκκλησίας· τὰ αὐτὰ καὶ πάλιν λέγομεν πρὸς πάσας τὰς πεμφθείσας Ἡμῖν παρ᾽ ὑμῶν προτάσεις, ὅτι δηλονότι, τὰ καθ᾽ ἡμᾶς δόγματα καὶ τὸ φρόνημα τῆς ἡμετέρας Ἀνατολικῆς Ἐκκλησίας πάλαι μὲν ἐξητάσθησαν, ὀρθῶς τε καὶ εὐσεβῶς διωρίσθησαν, καὶ διετάχθησαν παρὰ τῶν Ἁγίων καὶ Οἰκουμενικῶν Συνόδων, καὶ μήτε προσθεῖναι τούτοις ἕτερόν τι ἔξεςιν, οὔτ᾽ ἔτι ὅλως ἀφαιρῆσαι ἐκ τούτων· καὶ τοῖς βουλομένοις συμφρονῆσαι ἡμῖν ἐν τοῖς Θείοις δόγμασι τῆς Ὀρθοδόξου πίςεως ἀνάγκη ἀκολουθῆσαι, καὶ ὑποταγῆναι τοῖς διορισθεῖσι καὶ διαταχθεῖσιν ὑπὸ τῆς ἀρχαιοπαραδότου καὶ πατροπαραδότου, καὶ παρὰ τῶν Ἁγίων καὶ Οἰκουμενικῶν Συνόδων διατάξεως, ἀπὸ τοῦ καιροῦ τῶν Ἀποςόλων καὶ τῶν καθεξῆς εἰςόδε Θεοφόρων Πατέρων τῆς Ἐκκλησίας ἡμῶν, μετὰ ἁπλότητος καὶ ὑπακοῆς, καὶ ἄνευ τινὸς ἄλλης ἐρεύνης καὶ περιεργείας. Καὶ ἀρκεταὶ μὲν εἰσὶν αἱ τοιαῦται ἀποκρίσεις πρὸς τὰ παρ᾽ ὑμῶν γραφόμενα· εἰς πληρεςέραν δὲ καὶ ἀναντίῤῥητον πληροφορίαν, ἰδοὺ πέμπομεν ὑμῖν πλατυτέρως τὴν ἔκθεσιν τῆς Ὀρθοδόξου πίςεως τῆς Ἀνατολικῆς ἡμῶν Ἐκκλησίας, καθὼς περιέχεται ἐν τῇ πρὸ χρόνων ἱκανῶν γενομένῃ, μετὰ σκέψεως ἀκριβοῦς, Συνόδῳ Ἱε-

ροσολυμιτικῇ λεγομένῃ κατὰ τὸ ͵αχοβ ἔτος τὸ σωτήριον, ἥτις ἐτυπώθη καὶ ὕϛερον Ἑλληνιϛὶ καὶ Λατινιϛὶ ἐν Παρισίοις ἐν ἔτει ͵αχοε, καὶ ἐνδεχόμενόν ἐϛιν ἀποκομισθεῖσαν καὶ εἰς τὰ αὐτόθι εὑρίσκεσθαι καὶ παρ᾽ ὑμῖν. Κἀντεῦθεν ἔχετε γνῶναι καὶ καταλαβεῖν ἀδιϛάκτως τὸ ἡμέτερον τῆς Ἀνατολικῆς Ἐκκλησίας εὐσεβὲς καὶ ὀρθόδοξον φρόνημα· καὶ, εἰ μὲν συγκατανεύσητε καὶ ὑμεῖς ϛέργοντες τούτοις τοῖς παρ᾽ ἡμῶν δοξαζομένοις, πάντως τὸ ἓν ἔσεσθε μεθ᾽ ἡμῶν, καὶ ἐδεμία διάϛασις πρὸς ἀλλήλους ἔϛαι. Ὅσον δὲ περὶ τῶν λοιπῶν ἐθῶν καὶ τάξεων τῶν Ἐκκλησιῶν, καὶ τῆς διορθώσεως τῆς ἱερᾶς μυϛαγωγίας καὶ Λειτεργίας· εὐχερὴς καὶ ῥαδία ἐϛὶ καὶ ἡ τέτων διόρθωσις, τῆς ἑνώσεως σὺν Θεῷ γενομένης. Ἐπειδὴ καὶ ὡς ἐκ τῶν ἐκκλησιαϛικῶν ἱϛορικῶν βίβλων δῆλον ἐϛὶν, ὅτι ἔθη μὲν καὶ τάξεις τινὲς παρηλλαγμέναι ἦσαν τε καὶ εἰσὶν ἐν διαφόροις τόποις καὶ Ἐκκλησίαις, ἡ ἑνότης δὲ τῆς πίϛεως καὶ ὁμοφροσύνης περὶ τὰ δόγματα σώζεται ἡ αὐτή. Δῴη δὲ ὁ ἔφορος καὶ προνοητὴς ἁπάντων Θεὸς, ὁ θέλων πάντας ἀνθρώπȣς σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν (1 Τιμόθ. 2, 4.), γενέσθαι τὴν περὶ τέτων κρίσιν τε καὶ διάκρισιν, κατὰ τὴν Θείαν Αὐτȣ̃ θέλησιν, εἰς ψυχωφελῆ καὶ σωτηριώδη κατάϛασιν.

Τὰ πιϛευόμενα καὶ φρονούμενα παρ᾽ ἡμῖν, τοῖς Ἀνατολικοῖς Ὀρθοδόξοις Χριϛιανοῖς.

## ὍΡΟΣ ά.

Πιϛεύομεν εἰς ἕνα Θεὸν ἀληθῆ, Παντοκράτορα, καὶ ἀόριϛον, Πατέρα, Υἱὸν, καὶ Ἅγιον Πνεῦμα· Πατέρα ἀγέννητον, Υἱὸν γεννητὸν ἐκ τȣ̃ Πατρὸς πρὸ αἰώνων, ὁμοούσιον Αὐτῷ, — Πνεῦμα Ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, Πατρὶ καὶ Υἱῷ ὁμο-

ούσιον. Ταύτας τὰς τρεῖς Ὑποςάσεις ἐν μιᾷ ἐσίᾳ παναγίαν Τριάδα προσαγορεύομεν, ὑπὸ πάσης κτίσεως ἀεὶ εὐλογεμένην, δοξαζομένην καὶ προσκηνουμένην.

## ὍΡΟΣ β΄.

Πιςεύομεν τὴν Θείαν καὶ Ἱερὰν Γραφὴν εἶναι Θεοδίδακτον, καὶ διὰ τοῦτο τάυτῃ ἀδιςάκτως πιςεύειν ὀφείλομεν, οὐκ ἄλλως μέντοι, ἀλλ᾽ ἣ ὡς ἡ Καθολικὴ Ἐκκλησία ταύτην ἡρμήνευσε καὶ παρέδωκε. Πᾶσα γὰρ αἱρετικῶν βδελυρία δέχεται μὲν τὴν Θείαν Γραφὴν, παρεξηγεῖται δ᾽ αὐτὴν μεταφοραῖς καὶ ὁμωνυμίαις καὶ σοφίσμασι σοφίας ἀνθρωπίνης χρωμένη, συγχέεσα τὰ ἀσύγχυτα καὶ παίζεσα ἐν ἐ παικτοῖς. Ἄλλως γὰρ ἂν, ἄλλε ἄλλην ὁσημέραι περὶ αὐτῆς γνώμην ἐσχηκότος, ἐκ ἂν εἴη ἡ Καθολικὴ Ἐκκλησία Χριςοῦ χάριτι ἕως τῆς σήμερον Ἐκκλησία, μίαν γνώμην ἔχουσα περὶ πίςεως, καὶ ἀεὶ ὡσάυτως καὶ ἀπαρασαλεύτως πιςεύουσα, ἀλλ᾽ ἐσχίσθη ἂν εἰς μύρια, καὶ αἱρέσεσιν ὑπέκειτο, καὶ μηδ᾽ ἦν ἡ Ἐκκλησία Ἁγία, ςύλη καὶ ἑδραίωμα τῆς ἀληθείας, ἄσπιλός τε καὶ ῥυτίδος χωρὶς, ἀλλ᾽ ἡ ἐκκλησία πονηρευομένων, ὡς φαίνεται, γεγονυῖα ἀναμφιβόλως ἡ τῶν αἱρετικῶν, οἳ ἐκ αἰσχύνονται παρὰ τῆς Ἐκκλησίας μανθάνειν, ἔπειτα ταύτην πονηρῶς ἀποκρούεσθαι. Ὅθεν καὶ τὴν τῆς Καθολικῆς Ἐκκλησίας μαρτυρίαν οὐχ ἧττον τῆς, ἣν κέκτηται ἡ Θεία Γραφὴ, εἶναι πιςεύομεν. Ἑνὸς γὰρ καὶ τοῦ αὐτοῦ Ἁγίου Πνεύματος ὄντος ἀμφοτέρων δημιουργε͂, ἴσον ἐςὶ πάντως ὑπὸ τῆς Γραφῆς, καὶ ὑπὸ τῆς Καθολικῆς Ἐκκλησίας διδάσκεσθαι. Ἔπειτα ἄνθρωπον μὲν ὀντιναοῦν λαλοῦντα ἀφ᾽ ἑαυτε͂ ἐνδέχεται ἁμαρτῆσαι, καὶ ἀπατῆσαι, καὶ ἀπατηθῆναι, τὴν δὲ Καθολικὴν Ἐκκλησίαν, ὡς μηδέποτε λαλήσασαν, ἢ λαλοῦσαν ἀφ᾽ ἑαυτῆς, ἀλλ᾽ ἐκ τε͂

Πνεύματος τοῦ Θεοῦ (Ὃ καὶ διδάσκαλον ἀδιαλείπτως πλουτεῖ εἰς τὸν αἰῶνα, ἀδύνατον πάντῃ ἁμαρτῆσαι, ἢ ὅλως ἀπατῆσαι καὶ ἀπατηθῆναι· ἀλλ' ἐστιν ὡσαύτως τῇ Θείᾳ Γραφῇ ἀδιάπτωτος, καὶ ἀέναον τὸ κῦρος ἔχουσα.

## ὍΡΟΣ γ'.

Πιστεύομεν τὸν ἄκρως ἀγαθὸν Θεὸν ἐξ ἀϊδίου, οὓς ἐξελέξατο, εἰς δόξαν προορίσαι, οὓς δ' ἂν ἀπεδοκίμασεν, εἰς κατάκρισιν παραχωρῆσαι· οὐχ ὅτι δὲ τούτους οὕτως ἠβουλήθη δικαιῶσαι, τούτους δ' ἀναιτίως παραχωρῆσαι καὶ κατακρῖναι· ἀνοίκειον γὰρ τοῦτο τῷ Πατρὶ τῶν ὅλων, καὶ ἀπροσωπολήπτῃ καὶ θέλοντι πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν (1 Τιμόθ. β, 4.) Θεῷ· ἀλλ' ὅτι τούτους μὲν προεῖδε καλῶς τῷ αὐτεξουσίῳ χρησομένους, τούτους δὲ κακῶς, προορίσαι, ἢ κατακρῖναι. Ἐννοοῦμεν δὲ τὴν χρῆσιν τοῦ αὐτεξουσίου οὕτως· ὥστε τῆς Θείας καὶ φωτιστικῆς χάριτος, ἣν καὶ προκαταρκτικὴν προσαγορεύομεν, οἷον φῶς τοῖς ἐν σκότει παρὰ τῆς Θείας ἀγαθότητος πᾶσι χορηγουμένης, τοῖς βουλομένοις ὑπεῖξαι ταύτῃ, (καὶ γὰρ οὐ τοὺς μὴ θέλοντας, ἀλλὰ τοὺς θέλοντας ὠφελεῖ) καὶ συγκατατεθῆναι ἐν οἷς ἐκείνη ἐντέλλεται, πρὸς σωτηρίαν οὖσιν ἀναγκαιοτάτοις, δωρεῖσθαι ἑπομένως καὶ ἰδικὴν χάριν, ἥτις συνεργοῦσα, καὶ ἐνδυναμοῦσα, καὶ ἐμμόνους πρὸς τὴν τοῦ Θεοῦ ἀγάπην, ταὐτὸν εἰπεῖν, πρὸς ἃ Θεὸς θέλει ἡμᾶς ἐργάζεσθαι ἀγαθὰ (ἃ καὶ ἡ προκαταρκτικὴ χάρις προσενετείλατο, ἀποτελοῦσα, δικαιοῖ καὶ προωρισμένους ποιεῖ· τοῖς δὲ μὴ θέλουσιν ὑπακοῦσαι καὶ συγκατατεθῆναι τῇ χάριτι, καὶ διὰ τοῦτο οὐδ', ἃ Θεὸς βούλεται ἡμᾶς ἐργάζεσθαι, τηροῦσι, καὶ ἐν τοῖς τοῦ σατανᾶ ἐπιτηδεύμασι τὴν ἣν παρὰ Θεοῦ εἰλήφασιν αὐτεξουσιότητα εἰς τὸ ἐργάζεσθαι ἑκουσίως τὸ ἀγαθὸν,

κατακρωμένοις, γίνεσθαι τὴν παραχώρησιν εἰς ἀΐδιον κατάκρισιν.

Τὸ δὲ λέγειν τὲς παμμιάρους αἱρετικοὺς τὸν Θεὸν προορίζειν ἢ κατακρίνειν, μηδαμῶς εἰς τὰ ἔργα ἀποβλέποντα τῶν προοριζομένων ἢ κατακρινομένων, βέβηλον καὶ ἀνόσιον οἴδαμεν. Ἐμάχετο γὰρ ἂν οὕτως ἡ Γραφὴ πρὸς ἑαυτὴν, διὰ τῶν ἔργων τῷ πιςῷ διδάσκουσα τὴν σωτηρίαν, καὶ τὸν Θεὸν μόνον αἴτιον ὑποθεμένη κατὰ μόνην τὴν φωτιςικὴν χάριν, ἣν μὴ προηγησαμένων ἔργων παρέχει, δεῖξαι τῷ ἀνθρώπῳ τὴν τῶν Θείων πραγμάτων ἀλήθειαν, καὶ διδάξαι ὅπως οὗτος ἐκείνῃ συγκατατεθῇ, εἰ βούλοιτο, καὶ ποιήσει τὸ ἀγαθὸν καὶ εὐάρεςον, καὶ ἔτω σωτηρίας τυχεῖν, οὐκ ἀναιρεῖ τὸ θέλειν, ἢ μὴ θέλειν ὑπακῦσαι, ἢ μὴ ὑπακοῦσαι αὐτῷ. Ἀλλὰ καὶ τὸ τὴν Θείαν θέλησιν αἰτίαν εἶναι τῶν κατακρινομένων ὅτως ἁπλῶς καὶ ἀναιτίως, ποίαν οὐκ ἔχει μανίαν; ποίαν οὐκ ἐπιφέρει κατὰ τῦ Θεοῦ συκοφαντίαν; καὶ ποίαν εἰς τὸ ὕψος οὐ λαλεῖ ἀδικίαν καὶ βλασφημίαν; Ἀπείραςον μὲν γὰρ κακῶν τὸ Θεῖον, καὶ πάντων ἐξ ἴσου ἐθέλον τὴν σωτηρίαν, ὡς μὴ ἐχούσης χώραν τῆς προσωποληψίας παρ᾽ Αὐτῷ οἴδαμεν, καὶ τοῖς βεβήλοις γενομένοις σκεύεσι, διὰ μοχθηρὰν αὐτῶν προαίρεσιν καὶ ἀμετανόητον καρδίαν, ὡς δίκαιον παραχωρεῖν τὴν κατάκρισιν ὁμολογῦμεν. Κολάσεως δ᾽ αἰωνίου, ὠμότητός τε, καὶ ἀσπλαγχνίας καὶ μισανθρωπίας αἴτιον, ὅποτέ φαμεν τὸν Θεὸν, τὴν χαρὰν γίνεσθαι ἐν ἐρανῷ ἐπὶ ἑνὶ μετανοῦντι ἁμαρτωλῷ ἀποφηνάμενον. Μὴ γένοιτο ἡμᾶς οὕτω πιςεῦσαι ἢ ἐννοῆσαι ἕως ἂν ἑαυτῶν ἐσμὲν ἀναθέματι δὲ αἰωνίῳ καθυποβάλλομεν τοὺς τὰ τοιαῦτα καὶ λέγοντας καὶ φρονοῦντας, καὶ χείρους πάντων ἀπίςων γινώσκομεν.

## ὍΡΟΣ δ΄.

Πιςεύομεν τὸν Τριςυπόςατον Θεὸν, τὸν Πατέρα, τὸν Υἱὸν, καὶ τὸ Ἅγιον Πνεῦμα, ποιητὴν εἶναι ὁρατῶν τε πάντων, καὶ ἀοράτων· καὶ ἀόρατα μὲν τὰς Ἀγγελικὰς δυνάμεις, ψυχάς τε λογικὰς, καὶ δαίμονας, (εἰ καὶ μὴ τοιούτους τοὺς δαίμονας, ὡς αὐτοὶ προαιρέσει ἰδίᾳ ὕςερον ἐγένοντο, ὁ Θεὸς πεποίηκεν)· ὁρατὰ δ᾽ οὐρανὸν, καὶ τὰ ὑπ᾽ οὐρανὸν. Ὅτι δὲ φύσει ἀγαθὸς ὁ Ποιητὴς· ἐποίησε καλὰ λίαν πάντα, ὅσα ἐποίησεν, ἐδὲ δύναταί ποτε κακȣ̃ ποιητὴς εἶναι. Εἶ δέ τι κακὸν, ταὐτὸν εἰπεῖν ἁμάρτημα, γινόμενον ἐναντίως τῇ Θείᾳ θελήσει, ἐςὶν ἐν τῷ ἀνθρώπῳ, ἢ τῷ δαίμονι (ἁπλῶς γὰρ ἐν τῇ φύσει κακὸν οὐκ οἴδαμεν)· ἐκεῖνο ἢ τȣ̃ ἀνθρώπου, ἢ τȣ̃ διαβόλου εἶναι. Κανὼν γάρ ἐςιν ἀληθὴς καὶ ἀδιάπτωτος, κακοῦ τὸν Θεὸν μηδαμῶς εἶναι δημιουργὸν, μήτε μὴν ὅλως δικαίῳ λόγῳ τοῦ Θεοῦ καταψηφίζεσθαι.

## ὍΡΟΣ έ.

Πιςεύομεν πάντα τὰ ὄντα, εἴτε ὁρατὰ εἴτε ἀόρατα, ὑπὸ τῆς τȣ̃ Θεοῦ κυβερνᾶσθαι προνοίας· τὰ δὲ κακὰ, ᾗ κακὰ, προειδέναι μὲν τὸν Θεὸν, καὶ παραχωρεῖν, οὐ μὴν καὶ προνοητὴν εἶναι τούτων, ἐπεὶ μηδὲ ποιητήν· ἤδη γεγενημένα δὲ ἐσθ᾽ οτε ἐπευθήνεσθαι πρός τι χρήσιμον ὑπὸ τῆς Ἄκρας Ἀγαθότητος, ȣ̓ ποιȣ́σης μὲν, ἐγκεντριζȣ́σης δὲ πρὸς τὸ κρεῖττον, ὡς οἷόντε ἐκείνοις. Ἐκθειάζειν δὲ, ἀλλ᾽ οὐκ ἐξετάζειν ὀφείλομεν τὴν Θείαν πρόνοιαν ἐν τοῖς ἀποῤῥήτοις καὶ μηδ᾽ ὅλως ἀποκαλυφθεῖσι κρίμασι. Τὰ μέντοι παρὰ τῇ Θείᾳ Γραφῇ παραδεδομένα περὶ αὐτῆς, ὡς συντείνοντα πρὸς ζωὴν αἰώνιον, δεῖν ἡμᾶς εὐγνωμόνως ἀνερευνᾶν,

καὶ ἐπομένως ταῖς πρώταις περὶ Θεοῦ ἐννοίαις ἀνενδοιάσως ἐκλαμβάνειν.

## ὍΡΟΣ. ϛ'.

Πιςεύομεν τὸν πρῶτον ἄνθρωπον κτισθέντα παρὰ Θεοῦ ἐν παραδείσῳ πεπτωκέναι, ὅτε καὶ παριδὼν τὴν Θείαν ἐντολὴν τῇ τȣ̃ ὄφεως ἀπατηλῇ συμβουλῇ ἐπειθάρχησε· κἀντεῦθεν ἀναβλύσαι τὴν προπατορικὴν ἁμαρτίαν τῇ διαδοχῇ, ὥςε μηδένα κατὰ σάρκα γεννᾶσθαι, ὃς τὸ φορτίον οὐκ ἐπιφέρει τȣ̃το, καὶ τȣ̀ς καρπȣ̀ς αὐτῆς ȣ̓κ αἰσθάνεται ἐν τῷ νῦν αἰῶνι. Καρπȣ̀ς δὲ φαμὲν καὶ φορτίον, ȣ̓ τὴν ἁμαρτίαν, οἷον ἀσέβειαν, βλασφημίαν, φόνον, ἔχθος, καὶ εἴτι ἕτερον ὑπὸ μοχθηρᾶς προαιρέσεως, ἐναντίον τῇ Θείᾳ θελήσει, γίνεται, ȣ̓χ ὑπὸ φύσεως· πολλοὶ γὰρ τῶν τε Προπατόρων καὶ Προφητῶν καὶ ἕτεροι μυρίοι, ὅσοι τῶν ἐν τῇ σκιᾷ καὶ τῇ ἀληθείᾳ, ὅ, τε Θεῖος Πρόδρομος, καὶ, κατ' ἐξαίρετον λόγον, ἡ τȣ̃ Θεοῦ Λόγȣ Μητὴρ καὶ Ἀειπάρθενος Μαρία, τῶν τοιȣ́των καὶ τῶν ὁμοίων τȣ́τοις πλημμελλημάτων ȣ̓κ ἐπειράσθησαν· ἀλλὰ τὸ παρακεῖσθαι ἡμῖν τὸ κακὸν, καὶ ἅπερ ὡς ποινὴν τῷ ἀνθρώπῳ, διὰ τὴν παράβασιν, δέδωκεν ἡ Θεία δικαιοσύνη, οἷον ἱδρῶτας τῶν πόνων, θλίψεις, σωματικὰς ἀσθενείας, ὠδῖνας τȣ̃ τίκτειν, καὶ τέως τὸ ζῆν ἐν τῇ παροικίᾳ ἐπιπόνως, καὶ τελευταῖον τὸν σωματικὸν θάνατον.

## ὍΡΟΣ ζ'.

Πιςεύομεν τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριςὸν κένωσιν ὑποςῆναι, τουτ' ἔςιν, ἐν τῇ ἰδίᾳ Ὑποςάσει τὴν ἀνθρωπίνην σάρκα προσειληφέναι, ἐκ Πνεύματος Ἁγίȣ ἐν τῇ γαςρὶ τῆς Ἀειπαρθένου Μαρίας συλληφθέντα, καὶ ἐνανθρωπήσαντα, γεννηθέντα χωρὶς τοῦ δοῦναι πόνον ἢ

ὠδῖνας τῇ ἰδίᾳ κατὰ σάρκα Μητρὶ, ἢ τὴν παρθενίαν Αὐτῆς διασεῖσαι, παθόντα, ταφέντα, ἀναςάντα ἐν δόξῃ τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς, ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ Πατρὸς, ὃν καὶ προσδοκῶμεν ἐλευσόμενον κρῖναι ζῶντας καὶ νεκρούς.

## Ὅ Ρ Ο Σ η΄.

Πιςεύομεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριςὸν μόνον Μεσίτην γεγονέναι, καὶ δόντα ἑαυτὸν λύτρον περὶ πάντων, τὴν καταλλαγὴν διὰ τοῦ ἰδίου αἵματος πεποιηκέναι ἀνάμεσον Θεοῦ καὶ ἀνθρώπων, καὶ Αὐτὸν κηδόμενον τῶν ἰδίων εἶναι Παράκλητον καὶ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν. Ἐν ταῖς πρὸς Αὐτὸν μέντοι ἐντεύξεσι καὶ αἰτήσεσιν εἶναι πρεσβευτὰς τοὺς Ἁγίους φαμὲν, καὶ πρὸ πάντων τὴν πανάχραντον Μητέρα Αὐτοῦ τȣ̃ Θεοῦ Λόγȣ, τούς τε Ἁγίους Ἀγγέλους, ȣ̔̀ς καὶ προςατοῦντας ἡμῶν οἴδαμεν, Ἀποςόλȣς, Προφήτας, Μάρτυρας, Ὁσίȣς καὶ πάντας, ȣ̔̀ς Ἐκεῖνος ἐδόξασεν, ὡς πιςοὺς Αὐτȣ̃ θεράποντας, οἷς συναριθμοῦμεν καὶ τοὺς Ἀρχιερεῖς καὶ Ἱερεῖς, ὡς παριςαμένους τῷ Θείῳ θυσιαςηρίῳ, καὶ τοὺς ἀρετῇ διαφέροντας δικαίους ἄνδρας. Εὔχεσθαι γὰρ ὑπὲρ ἀλλήλων, καὶ πολὺ ἰσχύειν τὴν δέησιν τοῦ δικαίου, καὶ μᾶλλον ἀκȣ́ειν τὸν Θεὸν τῶν Ἁγίων, ἤπερ τῶν ἐν ἁμαρτίαις ἐγκαλινδουμένων, ἐκ τῶν Ἱερῶν διδασκόμεθα Λογίων. Οὐ μόνον δὲ, ἔτι ὄντας ἐν τῇ παροικίᾳ, τοὺς Ἁγίους μεσίτας καὶ πρεσβευτὰς ἡμῶν πρὸς Θεὸν ὁμολογοῦμεν, ἀλλὰ καὶ μετὰ θάνατον μάλιςα, ὅτε καὶ τῶν ἐσόπτρων λυθέντων, καθαρῶς ἐποπτεύουσι τὴν Ἁγίαν Τριάδα, τὸ ἄπειρον Ἐκείνης φῶς τούτων ἐν τῷ νῷ τίθησι τὰ ἡμέτερα. Ὡς γὰρ τοὺς Προφήτας, ἐν τῷ αἰσθητῷ

ὄντας σώματι, οὐκ ἀμφιβάλλομεν εἰδέναι τὰ ἐν οὐρανῷ, δι᾽ ὧν τὰ μέλλοντα ἐχρησμωδότουν· οὕτω καὶ τοὺς Ἀγγέλους, καὶ τοὺς ὡς Ἀγγέλες γεγενημένες Ἁγίους εἰδέναι τὰ ἡμέτερα τῷ ἀπείρῳ τοῦ Θεοῦ φωτὶ οὐ διςάζομεν, ἀλλὰ μᾶλλον ἀνενδοίαςως πιςεύομεν καὶ ὁμολογοῦμεν.

## ὍΡΟΣ θ΄.

Πιςεύομεν μηδένα σώζεσθαι ἄνευ πίςεως. Καλῦμεν δὲ πίςιν τὴν οὖσαν ἐν ἡμῖν ὀρθοτάτην ὑπόληψιν περὶ Θεοῦ καὶ τῶν Θείων, ἥτις ἐνεργεμένη διὰ τῆς ἀγάπης, ταὐτὸν εἰπεῖν, διὰ τῶν Θείων ἐντολῶν, δικαιοῖ ἡμᾶς παρὰ Χριςῶ, καὶ ταύτης ἄνευ τῷ Θεῷ εὐαρεςῆσαι ἀδύνατον.

## ὍΡΟΣ ι΄.

Πιςεύομεν τὴν λεγομένην, μᾶλλον δὲ τὴν οὖσαν Ἁγίαν, Καθολικὴν, καὶ Ἀποςολικὴν Ἐκκλησίαν, εἰς ἣν καὶ πιςεύειν δεδιδάγμεθα, πάντας τοὺς ἐν Χριςῷ πιςοὺς καθόλε περιέχειν, οἵτινες δηλονότι εἰσέτι καὶ νῦν ἐν τῇ παροικίᾳ ὄντες, ὀκ ἔφθασαν ἐν τῇ πατρίδι ἀποδημῆσαι. Μηδαμῶς δὲ συγχέομεν τὴν ἐν τῇ παροικίᾳ ταύτην Ἐκκλησίαν τῇ ἐν τῇ πατρίδι, διὰ τὸ εἶναι τυχὸν, ὥς φασί τινες τῶν αἱρετικῶν, καὶ τῶν δύο τὰ μέλη πρόβατα τῦ ἀρχιποιμένος Θεοῦ, καὶ καθαγιάζεσθαι ὑπὸ τοῦ αὐτῦ Ἁγίου Πνεύματος. Ἄτοπον γὰρ ἅμα καὶ ἀδύνατον. Ἐπειδὴ ἡ μὲν ἔτι πυκτεύει καὶ ἐν τῇ ὁδῷ ἐςιν, ἡ δὲ τροπαιοφορεῖ καὶ ἐν τῇ πατρίδι ἀποκατέςη, καὶ τὸ βραβεῖον εἴληφεν. Ἧςτινος Καθολικῆς Ἐκκλησίας, ἐπειδὴ θνητὸς ἄνθρωπος καθόλε καὶ ἀΐδιος κεφαλὴ εἶναι οὐ δύναται, Αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησῦς Χριςὸς ἐςὶ Κεφαλὴ, καὶ Αὐτὸς, τοὺς οἴακας ἔχων ἐν τῇ

τῆς Ἐκκλησίας κυβερνήσει, πηδαλιουχεῖ διὰ τῶν Ἁγίων Πατέρων. Καὶ διὰ τοῦτο ταῖς κατὰ μέρος Ἐκκλησίαις, κυρίως οὔσαις Ἐκκλησίαις, καὶ ὑπὸ κυρίως μελῶν συνισαμέναις, Ἡγουμένους καὶ Ποιμένας, καὶ ὅλως οὐκ ἐν καταχρήσει, ἀλλὰ κυρίως Ἀρχὰς καὶ Κεφαλὰς, τοὺς Ἐπισκόπους ἔθηκε τὸ Πνεῦμα τὸ Ἅγιον, εἰς τὸν τῆς σωτηρίας ἡμῶν Ἀρχηγὸν καὶ Τελειωτὴν ἀφορώσας, καὶ εἰς Αὐτὸν τὴν ἐνέργειαν τῆς κατὰ τὴν κεφαλὴν χορηγίας ἀναβιβαζούσας δηλονότι.

Ἐπειδὴ δὲ μετὰ τῶν ἄλλων ἀσεβειῶν ἔδοξε καὶ τοῦτο τοῖς αἱρετικοῖς, ὅτι τυχὸν ταὐτόν ἐστιν ἱερεὺς ἁπλῶς καὶ Ἀρχιερεὺς, καὶ δυνατὸν μὴ εἶναι Ἀρχιερέα, καὶ διά τινων ἱερέων τὴν Ἐκκλησίαν κυβερνᾶσθαι, καὶ οὐκ Ἀρχιερεὺς, ἀλλὰ καὶ ἱερεὺς δύναται χειροτονεῖν ἱερέα, καὶ πλείονας ἱερεῖς χειροτονεῖν Ἀρχιερέα, καὶ ταύτης τῆς κακεντρεχείας κοινωνὸν εἶναι μεγαλοῤῥημονοῦσι καὶ τὴν Ἀνατολικὴν Ἐκκλησίαν· φαμὲν κατὰ τὴν ἄνωθεν ἐπικρατήσασαν γνώμην τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ, ὅτι τὸ τοῦ Ἐπισκόπου ἀξίωμα οὕτως ἐστὶν ἐν τῇ Ἐκκλησίᾳ ἀναγκαῖον, ὥστε χωρὶς αὐτοῦ μὴ δύνασθαι μήτε Ἐκκλησίαν, μήτε Χριστιανόν τινα ἢ εἶναι, ἢ ὅλως λέγεσθαι. Αὐτὸς γὰρ, ὡς Ἀποστολικὸς διάδοχος, τὴν χάριν τὴν δοθεῖσαν ἐκείνῳ παρὰ τοῦ Κυρίου εἰς τὸ δεσμεῖν τε καὶ λύειν, χειρῶν ἐπιθέσει καὶ ἐπικλήσει τοῦ Παναγίου Πνεύματος, ἀλληλοδιαδόχως λαβὼν, ζῶσά ἐστιν εἰκὼν τοῦ Θεοῦ ἐπὶ τῆς γῆς, καὶ, μεθέξει πληρεστάτη ἐνεργείας τοῦ Τελεταρχικοῦ Πνεύματος, πηγὴ πάντων τῶν μυστηρίων τῆς Καθολικῆς Ἐκκλησίας, δι' ὧν σωτηρίας ἐπιτυγχάνομεν. Οὕτω δὲ αὐτοῦ τὸ ἀναγκαῖον ἐννοοῦμεν ἐν τῇ Ἐκκλησίᾳ, ὡς ἐν τῷ ἀνθρώπῳ τὴν ἀναπνοὴν καὶ ἐν τῷ κόσμῳ τὸν ἥλιον. Ὅθεν καὶ τισι κομψῶς πρὸς ἔπαινον τοῦ Ἀρχιερατικοῦ ἀξιώματος εἴρηται· „ὅτι Θεὸς ἐν τῇ οὐρανίῳ τῶν πρω-

„τοτόκων Ἐκκλησίᾳ καὶ ἥλιος ἐν τῷ κόσμῳ, τοῦ-
„το ἕκαςος Ἀρχιερεὺς ἐν τῇ κατὰ μέρος Ἐκκλη-
„σίᾳ, ὡς διʼ οὗ τὸ ποιμνίον λαμπρήνεται, θάλπει,
„καὶ ναὸς Θεᾶ γίνεται.“

Ὅτι δὲ ἀλληλοδιαδόχως τὸ τῆς Ἐπισκοπικῆς μέγα μυςήριον καὶ ἀξίωμα δίδοται μέχρις ἡμῶν, φανερόν. Ὁ γὰρ Κύριος εἰπὼν εἶναι μεθʼ ἡμῶν εἰς τὸν αἰῶνα, εἰ καὶ κατʼ ἄλλους τρόπους χάριτος καὶ Θείων ἐνεργετημάτων ἐςὶ μεθʼ ἡμῶν, ἀλλʼ οὖν κυριωτέρῳ τρόπῳ διὰ τῆς Ἐπισκοπικῆς τελεταρχίας οἰκειᾶται ἡμᾶς καὶ σύνεσιν ἡμῖν, καὶ διὰ τῶν ἱερῶν Μυςηρίων ἑνᾶται ἡμῖν, ὧν πρωτεργὸς ἐςι καὶ τελετάρχης, διὰ τοῦ Πνεύματος, ὁ Ἐπίσκοπος, καὶ ἐκ ἐᾷ αἱρέσει ὑποπεσεῖν. Καὶ διὰ τοῦτο καὶ Δαμασκηνὸς, τετάρτῃ ἐπιςολῇ πρὸς Ἀφρικάνους, ἔλεγε, τὴν καθόλου Ἐκκλησίαν τοῖς Ἐπισκόποις γενικῶς ἐπιτετράφθαι, καὶ Κλήμης πρῶτος Ῥωμαίων Ἐπίσκοπος, καὶ Εὐόδιος ἐν Ἀντιοχείᾳ, καὶ Μάρκος ἐν Ἀλεξανδρείᾳ, Πέτρε διάδοχοι ὁμολογᾶνται, καὶ Στάχην ἐν τῷ τῆς Κωνςαντινεπόλεως θρόνῳ ὁ Θεῖος Ἀνδρέας ἀντʼ ἐκείνου καθίσησι, καὶ ἐν τῇ μεγάλῃ ταύτῃ ἁγίᾳ πόλει Ἱερουσαλὴμ ὁ μὲν Κύριος Ἰάκωβον ποιεῖ, μετὰ δὲ Ἰάκωβον ἕτερος ἐγένετο, καὶ μετʼ ἐκεῖνον ἄλλος ἄχρις ἡμῶν. Καὶ διὰ τοῦτο καὶ Τερτελλιανὸς, ἐν τῇ πρὸς Παπιανὸν ἐπιςολῇ, πάντας τὰς Ἐπισκόπους Ἀποςολικὰς διαδόχους καλεῖ. Τούτων τὴν διαδοχὴν καὶ τὴν Ἀποςολικὴν ἀξίαν καὶ ἐξουσίαν καὶ Εὐσέβειος ὁ Παμφίλου μαρτυρεῖ, καὶ ἁπλῶς οἱ Πατέρες μαρτυρᾶσιν, οὓς περιττὸν ἐγκαταλέγειν, καὶ ἡ κοινὴ, καὶ ἀρχαιοτάτη τῆς Καθολικῆς Ἐκκλησίας συνήθεια βεβαιοῖ.

Ὅτι δὲ διαφέρει τὸ Ἐπισκοπικὸν ἀξίωμα τοῦ ἁπλῶς ἱερέως, δῆλον. Ὁ γὰρ ἱερεὺς χειροτονεῖται ὑπὸ τᾶ Ἐπισκόπου, Ἐπίσκοπος δὲ ἐ χειροτονεῖται ὑπὸ ἱερέως, ἀλλʼ ὑπὸ δύο, ἢ τριῶν Ἀρχιερέων,

ὡς ὁ Ἀποςολικὸς βούλεται κανών. Καὶ ὁ μὲν ἱερεὺς ἐκλέγεται ὑπὸ τȣ̃ Ἐπισκόπου, ὁ δὲ Ἀρχιερεὺς ȣ̓κ ἐκλέγεται ὑπὸ τῶν ἱερέων, εἴτουν πρεσβυτέρων, οὔτ' ἐκλέγεται ὑπὸ πολιτικῶν ἀρχόντων, κἂν καὶ ἀρετῇ διαφέρωσιν, ἀλλ' ὑπὸ τῆς Συνόδȣ τῆς ἀνωτάτω Ἐκκλησίας τοῦ κλίματος ἐκείνου, ἐν ᾧ κεῖται ἡ πόλις, ἡ δεξομένη τὸν χειροτονηθησόμενον, ἢ τ' ουλάχιςον ὑπὸ τῆς Συνόδου τῆς Ἐπαρχίας ἐκείνης, ἐν ᾧ δεῖ γίνεσθαι τὸν Ἐπίσκοπον. Εἰδέποτε καὶ ἡ πόλις ἐκλέγῃ, ἀλλ' οὐχ' ἁπλῶς. Ἡ γὰρ ἐκλογὴ τῇ Συνόδῳ ἀναφέρεται, καὶ εἰμὲν δόξοι ταύτην κατὰ κανόνας καλῶς ἔχειν, ὁ ἐκλεχθεὶς προβάλλεται διὰ τῆς χειροθεσίας μὲν τῶν Ἐπισκόπων, τῇ ἐπικλήσει δὲ τȣ̃ Παναγίȣ Πνεύματος· εἰ δὲ μὴ, ὃν βούλεται ἡ Σύνοδος, ἐκεῖνος καὶ προβιβάζεται. Καὶ ὁ μὲν ἱερεὺς εἰς ἑαυτὸν σώζει τὴν ἣν εἴληφεν ἐξουσίαν καὶ χάριν τῆς Ἱερωσύνης, ὁ Ἐπίσκοπος δὲ καὶ ἑτέροις μεταδίδωσι. Καὶ ὁ μὲν ἤδη λαβὼν τὸ τῆς Ἱερωσύνης ἀξίωμα ὑπὸ τȣ̃ Ἐπισκόπου, βάπτισμα μόνον τελεῖ τὸ ἅγιον καὶ εὐχέλαιον, ἱερȣργεῖ τὴν ἀναίμακτον θυσίαν, καὶ μεταδίδωσι τῷ λαῷ τὸ πανάγιον σῶμα καὶ αἷμα τοῦ Κυρίȣ ἡμῶν Ἰησοῦ Χριςοῦ, χρίει τοὺς βαπτιζομένους τῷ ἁγίῳ μύρῳ, ςεφανοῖ τοὺς κατὰ νόμον γαμȣ̃ντας εὐσεβεῖς, εὔχεται ὑπὲρ τῶν ἀσθενῶν, καὶ ὑπὲρ πάσης σωτηρίας καὶ ἀληθείας ἐπιγνώσεως πάντων ἀνθρώπων, ἐξαιρέτως δ' ὑπὲρ τῆς τῶν εὐσεβῶν ζώντων καὶ τεθνεώτων ἀφέσεως καὶ συγχωρήσεως τῶν ἁμαρτιῶν. Εἰ δὲ καὶ δοκιμῇ καὶ ἀρετῇ διαφέρει· λαβὼν ἐξȣσίαν παρὰ τοῦ Ἐπισκόπου διορθοῖ τοὺς πρὸς αὐτὸν ἐρχομένους εὐσεβεῖς, καὶ εἰς τὴν πρὸς κτῆσιν τοῦ οὐρανίου βασιλείας ὁδὸν ποδηγετεῖ, καὶ κήρυξ τοῦ ἱεροῦ προχειρίζεται Εὐαγγελίου. Ὁ δὲ Ἀρχιερεὺς καὶ τούτων ἁπάντων διάκονός ἐςιν (ἐπειδὴ αὐτός ἐςιν, ὡς εἴρηται, πηγὴ τῶν Θείων μυςηρίων καὶ χα-

ρισμάτων, διὰ τοῦ Ἁγίου Πνεύματος), καὶ τὸ ἅγιον μῦρον μονώτατος ἐπιτελεῖ, καὶ αἱ χειροτονίαι πάντων τῶν ἐν τῇ Ἐκκλησίᾳ τάξεων καὶ βαθμῶν τούτε εἰσὶν ἴδιαι, καὶ, κατὰ πρῶτον καὶ ὑπέρτερον λόγον, οὗτος δεσμεῖ καὶ λύει, καὶ Θεῷ ἡ κρίσις εὐαπόδεκτος, ὡς ὁ Κύριος εἴρηκε, καὶ τὸ ἱερὸν Εὐαγγέλιον διδάσκει, καὶ τῆς εὐσεβοῦς ὑπερμαχεῖ πίςεως, καὶ τὲς παρακούοντας, ὡς ἐθνικὲς καὶ τελῶνας, τῆς Ἐκκλησίας ἀποδιΐςησι, καὶ τοὺς αἱρετικοὺς ἀφορισμῷ καὶ ἀναθέματι καθυποβάλλει, καὶ τὴν ψυχὴν αὐτε τίθησιν ὑπὲρ τῶν προβάτων. Ἐξ ὧν καταφανές ἐςὶν ἀναντιῤῥήτως διαφέρειν τὸν Ἐπίσκοπον τοῦ ἁπλῶς ἱερέως, καὶ πλὴν αὐτε μὴ δηναμένους πάντας τὲς ἐν τῷ κόσμῳ ἱερεῖς Ἐκκλησίαν Θεοῦ ποιμάναι, ἢ ὅλως κυβερνῆσαι.

Ἀλλὰ καλῶς λέγεται καί τινι τῶν Πατέρων, οὐ ῥάδιον αἱρετικὸν ἄνδρα συνετὸν εὑρεῖν. Καταλιπόντες γὰρ οὗτοι τὴν Ἐκκλησίαν ἐγκατελείφθησαν ὑπὸ τοῦ Ἁγίε Πνεύματος, καὶ οὐκ ἔμεινεν ἐν αὐτοῖς σήνεσις οὔτε φῶς, ἀλλὰ σκότος καὶ πώρωσις. Εἰ γὰρ μὴ τοιαῦτα πεπόνθασιν· ὀκ ἂν πρὸς τὰ φανερώτατα ἀντιτείναιντο, ἐξ ὧν ἐςι καὶ τὸ τῆς Ἐπισκοπικῆς μέγα ὄντως μυςήριον ὑπὸ τῆς Γραφῆς διδασκόμενον, ὑπότε πάσης Ἐκκλησιαςικῆς Ἱςορίας καὶ συγγραφῆς Ἁγίων συγγραφόμενόν τε καὶ μαρτυρούμενον, καὶ ὑπὸ τῆς Καθολικῆς Ἐκκλησίας ἀεὶ γινόμενόν τε καὶ ὁμολογούμενον.

## ὍΡΟΣ ιά.

Πιςεύομεν μέλη τῆς Καθολικῆς Ἐκκλησίας εἶναι πάντας καὶ μόνες τὲς πιςὲς, τοὺς τὴν τοῦ Σωτῆρος Χριςε δηλαδὴ ἀμώμητον πίςιν (ὑπότε ἐκείνε τε Χριςε καὶ τῶν Ἀποςόλων καὶ τῶν

Ἁγίων Οἰκουμενικῶν Συνόδων δειχθεῖσαν) ἀδιςάκτως πρεσβεύοντας, κἂν καί τινες ἐξ αὐτῶν ἁμαρτίαις παντοίαις ὑπεύθυνοι εἶεν. Εἰ γὰρ μὴ ἦν μέλη τῆς Ἐκκλησίας οἱ πιςοὶ μὲν, ἁμαρτίαις δὲ συζῶντες· ὐκ ἂν ὑπὸ τῆς Ἐκκλησίας ἐκρίνοντο. Νῦν δὲ κρινόμενοι ὑπ᾽ Αὐτῆς, εἴς τε μετάνοιαν προσκαλούμενοι, καὶ εἰς τὴν τρίβον τῶν σωτηρίων ἐντολῶν ποδηγετούμενοι, κἂν καὶ ἔτι ἁμαρτίαις ῥυπαίνοιντο, μόνον δὲ αὐτὸ τῦτο, ὅτι ὐ πεπτώκασιν εἰς ἀπόγνωσιν, καὶ ὅτι τῆς Καθολικῆς καὶ εὐσεβοῦς ἀντέχονται πίςεως, μέλη τῆς Καθολικῆς Ἐκκλησίας εἰσὶ καὶ γινώσκονται.

## ὍΡΟΣ ιβʹ.

Πιςεύομεν ὑπὸ τοῦ Ἁγίου Πνεύματος διδάσκεσθαι τὴν Καθολικὴν Ἐκκλησίαν. Αὐτὸ γάρ ἐςιν ὁ ἀληθὴς Παράκλητος, ὃν πέμπει παρὰ τοῦ Πατρὸς ὁ Χριςὸς τοῦ διδάσκειν τὴν ἀλήθειαν, καὶ τὸ σκότος ἀπὸ τῆς τῶν πιςῶν διανοίας ἀποδιώκειν. Ἡ τοῦ Ἁγίου Πνεύματος ὅμως διδαχὴ διὰ τῶν Ἁγίων Πατέρων καὶ καθηγεμόνων τῆς Καθολικῆς Ἐκκλησίας καταγλαΐζει τὴν Ἐκκλησίαν. Ὡς γὰρ ἡ πᾶσα Γραφὴ ἐςί τε καὶ λέγεται λόγος τῦ Ἁγίυ Πνεύματος, ὐχ᾽ ὅτι ἀμέσως ὑπ᾽ Αὐτῦ ἐλαλήθη, ἀλλ᾽ ὅτι ὑπ᾽ Αὐτῦ διὰ τῶν Ἀποςόλων καὶ Προφητῶν· ὕτω καὶ ἡ Ἐκκλησία διδάσκεται μὲν ὑπὸ τῦ Ζωαρχικῦ Πνεύματος, ἀλλὰ διὰ μέσυ τῶν Ἁγίων Πατέρων καὶ διδασκάλων (ὧν κανὼν αἱ Οἰκουμενικαὶ Ἅγιαι ὡμολόγηνται Σύνοδοι· ὐ γὰρ τοῦτο παύσομαι μυριάκις λέγειν), καὶ διὰ τοῦτο οὐ μόνον πεπείσμεθα, ἀλλὰ καὶ ἀληθὲς καὶ βέβαιον ἀναμφιβόλως εἶναι ὁμολογῦμεν, τὴν Καθολικὴν Ἐκκλησίαν ἀδύνατον ἁμαρτῆσαι, ἢ ὅλως πλανηθῆναι, ἤ ποτε τὸ ψεῦδος ἀντὶ τῆς ἀληθείας ἐκλέξαι. Τὸ γὰρ Πανάγιον

Πνεῦμα ἀεί ποτε ἐνεργοῦν, διὰ τῶν πιςῶς διακονέντων Ἁγίων Πατέρων καὶ καθηγεμόνων, πάσης ὁποιασῦν πλάνης τὴν Ἐκκλησίαν ἀπαλλάττει.

## ὍΡΟΣ ιγ΄.

Πιςεύομεν οὐ διὰ πίςεως ἁπλῶς μόνης δικαιοῦσθαι τὸν ἄνθρωπον, ἀλλὰ διὰ πίςεως καὶ ἐνεργεμένης διὰ τῆς ἀγάπης, ταὐτὸν εἰπεῖν, διὰ τῆς πίςεως καὶ τῶν ἔργων. Τὸ δὲ τὴν γυμνὴν πίςιν χειρὸς ἔργον ἀποπληροῦσαν ἀντιλαμβάνεσθαι τῆς ἐν Χριςῷ δικαιοσύνης καὶ προσάπτειν ἡμῖν εἰς σωτηρίαν, πόῤῥω πάσης εὐσεβείας γινώσκομεν. Οὕτω γὰρ ἐννοεμένη ἡ πίςις πᾶσιν ἐφαρμοσθείη καὶ οὐκ ἂν εἴη ὁ μὴ σωζόμενος, ὅπερ ἀντικρὺ ψεῦδός ἐςι. Τοὐναντίον δὲ μᾶλλον πιςεύομεν, ὅτι οὐ τὸ τῆς πίςεως ἀναφορικὸν, ἀλλὰ τὴν οὖσαν ἐν ἡμῖν πίςιν διὰ τῶν ἔργων δικαιοῦν ἡμᾶς παρὰ Χριςῦ. Ἐννοῦμεν δὲ τὰ ἔργα οὐ μάρτυρας τὴν ἡμετέραν κλῆσιν ἐπιβεβαιῦντας, ἀλλὰ καρπὺς καθ᾽ ἑαυτοὺς ὄντας, δι᾽ ὧν ἡ πίςις λαμβάνει τὸ ἔμπρακτον, καὶ καθ᾽ ἑαυτὰ ἄξια, διὰ τὰς Θείας ἐπαγγελίας, τοῦ κομίσασθαι ἕκαςον τῶν πιςῶν τὰ διὰ τῦ σώματος αὐτῷ πεπραγμένα, εἴτ᾽ ἀγαθὸν, εἴτε κακὸν δηλονότι.

## ὍΡΟΣ ιδ΄.

Πιςεύομεν τὸν ἄνθρωπον κατολισθήσαντα τῇ παραβάσει παρασυμβληθῆναι καὶ ὁμοιωθῆναι τοῖς κτήνεσι, τυτέςιν, ἀμαυρωθῆναι καὶ τῆς τελειότητος καὶ ἀπαθείας ἐκπεσεῖν, οὐ μὴν καὶ τῆς ἧς ἔτυχε παρὰ τῦ ἄκρως ἀγαθοῦ Θεῦ φύσεως καὶ ἐνεργείας ἐξεςηκέναι· οὕτω γὰρ οὐκ ἂν ἦν λογικὸς, καὶ ἑπομένως, οὐδ᾽ ἄνθρωπος· ἀλλ᾽ ἔχειν τὴν φύσιν αὐτὴν, ἣ ἔκτισαι, καὶ τὴν τῆς φύσεως ἐνέργειαν,

ἥτις ἐςὶ τὸ αὐτεξούσιον, ζῶσαν καὶ ἐνεργὸν, ὥςε κατὰ φύσιν δύνασθαι αἱρεῖσθαι μὲν καὶ ἐργάζεσθαι τὸ καλὸν, φεύγειν δὲ καὶ μυσάττεσθαι τὸ κακὸν. Ἄτοπον γὰρ τὸ τὴν καλὴν παρὰ τῦ ἄκρως Ἀγαθοῦ δημιουργηθεῖσαν φύσιν ἄμοιρον ἀγαθῆς ἐνεργείας ὁμολογεῖν. τῦτο γὰρ κακὴν εἶναι τὴν φύσιν λέγειν ἐςὶν (οὗ τί ἀσεβέςερον), ἡ γὰρ ἐνέργεια τῆς φύσεως ἤρτηται, ἡ φύσις δὲ τῦ Δημιυργοῦ (εἰ καὶ ὁ τρόπος διαφέρει). Ὅτι δὲ δύναται ὁ ἄνθρωπος φύσει ἐργάζεσθαι τὸ ἀγαθὸν, ὑπαινίττεται μὲν καὶ ὁ Κύριος λέγων, καὶ τοὺς ἐθνικοὺς ἀγαπᾶν τοὺς ἀγαπῶντας αὐτοὺς, διδάσκεται δὲ σαφέςατα καὶ ὑπὸ τῦ Παύλυ Ρωμ. πρώτῳ, κεφαλαίῳ ιθ'. καὶ ἀλλαχῦ ῥητῶς, ἐν οἷς φησὶ, τὰ μὴ νόμον ἔχοντα ἔθνη φύσει τὰ τῦ νόμυ ποιεῖν. Ἐξ ὧν φανερὸν καὶ τῦτο, ὅτι δηλαδὴ ἀδύνατον, ὅ τι ποιήσει ὁ ἄνθρωπος ἀγαθὸν, ἁμαρτίαν εἶναι· τὸ γὰρ καλὸν ἀδύνατον κακὸν εἶναι. Γινόμενον μέν τοι φύσει μόνῃ, καὶ ψυχικὸν, οὐχὶ δὲ καὶ πνευματικὸν ποιῦν τὸν μετερχόμενον, ὐ συμβάλλεται πρὸς σωτηρίαν ἁπλῶς ἄνευ πίςεως, οὐ δὲ μὴν πρὸς κατάκρισιν· οὐδὲ γὰρ ἐνδέχεται τὸ καλὸν, ᾗ τοιοῦτον, κακοῦ γενέσθαι αἰτίαν. Ἐν τοῖς ἀναγεννηθεῖσι δὲ, ὑπὸ τῆς χάριτος καὶ μετὰ τῆς χάριτος ἐνεργούμενον, τέλειον ἀπεργάζεται καὶ σωτηρίας ἄξιον ποιεῖται τὸν ἐνεργοῦντα. Ὁ ἄνθρωπος τοιγαρῦν πρὸ τῆς ἀναγεννήσεως δύναται φύσει κλίνειν πρὸς τὸ καλὸν, καὶ αἱρεῖσθαι καὶ ἐργάζεσθαι τὸ ἠθικὸν καλὸν· ἀναγεννηθεὶς δὲ, ἵνα ποιῇ τὸ πνευματικὸν καλὸν (σωτηρίας γὰρ ὄντα παραίτια τοῦ πιςῦ τὰ ἔργα καὶ ὑπὸ χάριτος ὑπερφυοῦς ἐνεργούμενα, καὶ πνευματικὰ εἰκότως ὀνομάζεται), ἀνάγκη προηγεῖσθαι καὶ προφθάνειν τὴν χάριν, ὃν τρόπον εἴρηται ἐν τοῖς περὶ προορισμοῦ, ὥςε μηδὲν δύνασθαι ἐξ ἑαυτῦ τῆς κατὰ Χριςὸν ζωῆς ἄξιον ἔργον ἐκτελέσαι, ἐξ ἑαυτοῦ μέντοι

ἔχειν τὸ θελῆσαι, ἢ μὴ θελῆσαι τῇ χάριτι συγκατατεθῆναι.

## ὍΡΟΣ ιέ.

Πιςεύομεν τὰ Ἐυαγγελικὰ μυςήρια ἐν τῇ Ἐκκλησίᾳ εἶναι, κἀκεῖνα εἶναι ἑπτά. Ἐλάττονα γάρ, ἢ μείζονα ἀριθμὸν μυςηρίων ἐν τῇ Ἐκκλησίᾳ οὐκ ἔχομεν. Ἐπειδὴ ὁ παρὰ τὸν ἑπτὰ τῶν μυςηρίων ἀριθμὸς, αἱρετικῆς φρενοβλαβείας ἐςὶν ἀποκύημα. Ὁ δὲ τῶν ἑπτὰ παρὰ τȢ̃ Ἱερȣ̃ Ἐυαγγελίου νομοθετεῖται καὶ συνάγεται, ὡς καὶ τὰ λοιπὰ τῆς Καθολικῆς πίςεως δόγματα. Ἀυτίκα γὰρ ὁ Κύριος τὸ μὲν Ἅγιον Βάπτισμα, διὰ τοῦ· πορευθέντες μαθητέυσατε πάντα τὰ ἔθνη, βαπτίζοντες ἀυτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τȣ̃ Ὑιοῦ, καὶ τȣ̃ Ἁγίȣ Πνεύματος (Ματθ. 28, 19.), καὶ τοῦ· ὁ πιςέυσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιςήσας κατακριθήσεται (Μάρκ. 16, 16.), παραδέδωκε.

Τὸ δὲ τοῦ Ἁγίου Μύρου καὶ Ἁγίου Χρίσματος διά τȣ· ὑμεῖς δὲ καθήσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους (Λουκ. 24, 49.), ἣν ἐνεδύσαντο τῇ ἐπιδημίᾳ τοῦ Ἁγίου Πνεύματος, καὶ ταύτην δηλοῖ τὸ τοῦ Ἁγίȣ Χρίσματος μυςήριον, περὶ οὗ καὶ Παῦλος δευτέρας πρὸς Κορινθίους κεφαλαίῳ πρώτῳ (2 Κορινθ. 1, 21, 22), καὶ τρανώτερον διὰ τοῦ Ἀρεοπαγίτου Διονυσίου διαλέγεται.

Τὴν δὲ Ἱερωσύνην, δία τȣ· τȣ̃το ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν (Λουκ. 22, 19.). Καὶ διὰ τοῦ· ὅσα ἂν δήσητε, καὶ λύσητε ἐπὶ τῆς γῆς, ἔςαι δεδεμένα καὶ λελυμένα ἐν τοῖς οὐρανοῖς (Ματθ. 18, 18.).

Τὴν δὲ Ἀναίμακτον Θυσίαν, διὰ τοῦ· λάβετε, φάγετε, τȣ̃τό ἐςι τὸ σῶμά Μου. Καὶ

*πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐςι τὸ αἷμά Μου τὸ τῆς Καινῆς Διαθήκης* (*Ματθ.* 26, 26, 27, 28). *Καὶ* τοῦ· *ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς* (Ἰωάν. 6, 53.).

Τὸν δὲ Γάμον, μετὰ τὸ εἰπεῖν τὰ ἐν τῇ παλαιᾷ περὶ αὐτοῦ εἰρημένα, διὰ τῆς οἷον ἐπισφραγίσεως τοῦ· *οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω* (Ματθ. 19, 6.), ὃν καὶ ὁ Θεῖος Ἀπόςολος μέγα ἐπικαλεῖ μυςήριον (Ἐφεσ. 5, 32.).

Τὴν δὲ Μετάνοιαν, ἥτινί ἐςι σύμμικτος ἡ μυςηριακὴ ἐξομολόγησις, διὰ τοῦ· *ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται* (Ἰωάν. 20, 23.). *Καὶ* τοῦ· *ἐὰν μὴ μετανοήσητε, ὡσαύτως ἀπολεῖσθε* (Λουκ. 13, 3.).

Τὸ δὲ Ἅγιον Ἔλαιον, εἴτ' οὖν εὐχέλαιον, λέγεται παρὰ τῷ Μάρκῳ (Μάρκ. 6, 13.), μαρτυρεῖται δὲ ῥητῶς ὑπὸ τοῦ Ἀδελφοθέου (Ἰακώβ. 5, 14, 15.).

Σύγκειται δὲ τὰ μυςήρια ἔκ τε φυσικοῦ καὶ ὑπερφυοῦς. Οὐκ εἰσὶ δὲ ψιλὰ σημεῖα τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ. Ὁμολογοῦμεν δ' αὐτὰ εἶναι ὄργανα δραςικὰ τοῖς μυουμένοις χάριτος ἐξ ἀνάγκης. Ἀποπτύομεν δὲ ὡς ἀλλότριον τῆς Χριςιανικῆς διδασκαλίας, τὸ τὴν ἀκεραιότητα τῶν μυςηρίων ἀπαιτεῖν τὴν χρῆσιν γηΐνου πράγματος. Ἀντίκειται γὰρ τῷ μυςηρίῳ τῆς Προσφορᾶς, ὅ, Ῥήματι Ὑπαρκτικῷ νομοθετηθὲν, καὶ τῇ ἐπικλήσει τοῦ Ἁγίου Πνεύματος ἁγιασθὲν, τελειοῦται τῇ ὑπάρξει τοῦ σημαινομένου, τοῦ σώματος δηλαδὴ, καὶ αἵματος τοῦ Χριςοῦ. Καὶ προηγεῖται ἡ τούτου τελείωσις ἀναγκαίως τῆς χρήσεως. Εἰ γὰρ πρὸ τῆς χρήσεως μὴ ἦν τέλειον· οὐκ ἂν ὁ κακῶς χρώμενος κρῖμα ἑαυτῷ ἤσθιε καὶ ἔπινεν, ἐπεὶ ψιλοῦ ἄρτου καὶ οἴνου ἦν μετεσχηκώς. Νῦν δ' ἀναξίως μετέχων

κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. Ὥςε οὐκ ἐν τῇ χρήσει, ἀλλὰ πρὸ τῆς χρήσεως ἔχει τὸ τῆς Εὐχαριςίας μυςήριον τὴν τελείωσιν. Ἔτι ἀποῤῥίπτομεν, ὡς κάθαρμά τι καὶ μίασμα, τὸ, ἐλλιπῶς γὰρ ἐχούσης τῆς πίςεως, ζημιοῦται ἡ ὁλοκληρία τοῦ μυςηρίου. Οἱ γὰρ αἱρετικοὶ, οὓς, τὴν αἵρεσιν ἀποσεισαμένους καὶ προσεθέντας τῇ Καθολικῇ Ἐκκλησίᾳ, δέχεται ἡ Ἐκκλησία, καί τοι ἐλλιπῆ ἐσχηκότες τὴν πίςιν, τέλειον ἔλαβον τὸ Βάπτισμα. Ὅθεν τελείαν ὕςερον τὴν πίςιν κεκτημένοι οὐκ ἀναβαπτίζονται.

## ὍΡΟΣ ιϛ΄.

Πιςεύομεν τὸ Ἅγιον Βάπτισμα, τὸ διαταγὲν μὲν παρὰ τοῦ Κυρίου, γινόμενον δὲ ἐν ὀνόματι τῆς Ἁγίας Τριάδος, εἶναι τῶν ἀναγκαιοτάτων. Χωρὶς γὰρ αὐτȣ̃ ȣ̉δεὶς δύναται σωθῆναι, ὡς ὁ Κύριός φησιν· ὅςις ȣ̉ μὴ γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν (Ἰωάν. 3, 5.). Καὶ διὰ τȣ̃το ἐςὶν ἀναγκαῖον καὶ τοῖς νηπίοις, ἐπειδὴ κἀκεῖνα ὑπόκειται τῇ ἀρχεγόνῳ ἁμαρτίᾳ καὶ χωρὶς τȣ̃ βαπτίσματος οὐ δύναται τυχεῖν τῆς ἀφέσεως, ὅπερ ὁ Κύριος δεικνύων οὐκ ἔφη μερικῶς, ἀλλ' ἁπλῶς καὶ καθόλου· ὅςις οὐ μὴ γεννηθῇ, ὅ ταὐτόν ἐςι τῷ πάντας τοὺς μετὰ τὴν ἔλευσιν τοῦ Σωτῆρος Χριςοῦ εἰσελευσομένους ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν δεῖ ἀναγεννηθῆναι. Εἰ δὲ τὰ νήπια ἄνθρωποι, εἴπερ καὶ ταῦτα δεῖται σωτηρίας· δεῖται καὶ τȣ̃ βαπτίσματος. Καὶ τὰ μὴ ἀναγεννηθέντα, ὡς μὴ τὴν ἄφεσιν τῆς προπατορικῆς ἁμαρτίας λαβόντα, ὑπόκειται τῇ ἀϊδίῳ τῆς ἁμαρτίας ἀνάγκης ποινῇ, καὶ ἑπομένως ȣ̉ σώζεται χωρὶς τοῦ βαπτίσματος· Ὥςε δεῖ ἀναγκαίως καὶ τὰ νήπια βαπτίζεσθαι. Ἔτι, τὰ νήπια σώζεται,

ὡς λέγεται παρὰ τῷ Ματθαίῳ, ὁ δὲ μὴ βαπτισθεὶς οὐ σώζεται· καὶ τὰ νήπια ἄρα ἀναγκαίως βαπτισθήσεται. Καὶ ἐν ταῖς Πράξεσι λέγεται, ὅτι πᾶσαι αἱ οἰκίαι ἐβαπτίζοντο (Πράξ. Ἀπος. 16, 33.)· ἄρα καὶ τὰ νήπια. Τοῦτο καὶ οἱ πάλαι Πατέρες μαρτυροῦσι σαφῶς, ἐν οἷς καὶ Διονύσιος ἐν τῷ περὶ Ἐκκλησιαςικῆς Ἱεραρχίας, καὶ Ἰουςῖνος πεντεκοςῷ ἕκτῳ ζητήματι, ὅς λεγει ῥητῶς· „ἀξιοῦνται „δὲ τῶν διὰ τοῦ βαπτίσματος ἀγαθῶν τῇ πίςει „τῶν προσφερόντων αὐτὰ τῷ βαπτίσματι.“ Καὶ Αὐγουςῖνος, „παράδοσιν εἶναι, φησὶν, Ἀποςολι„κὴν, τὰ παιδία διὰ τοῦ βαπτίσματος σώζεσθαι.“ Καὶ ἀλλαχόσε· „ἡ Ἐκκλησία τοῖς βρέφεσιν ἑτέ„ρων πόδας ἐντίθησιν, ὅπως ἔρχωνται· ἑτέρων καρ„δίας, ὅπως πιςεύωσιν· ἑτέρων γλῶσσαν, ὅπως „ἐπαγγέλλωνται.“ Καὶ ἀλλαχοῦ· „ἡ μήτηρ Ἐκκλη„σία μητρικὴν καρδίαν ἐκείνοις χαρίζεται.“ Γίνεται δὲ τὸ βάπτισμα δι' ὕλης μὲν ὕδατος καθαροῦ, καὶ οὐδενὸς ἑτέρου ὑγροῦ· Ἀποτελεῖται δὲ διὰ μόνου τοῦ ἱερέως, καὶ κατ' ἀνάγκην ἀπροφάσιςον ἔχει γίνεσθαι καὶ δι' ἑτέρου ἀνθρώπου, πλὴν ὀρθοδόξου καὶ σκοπὸν ἔχοντος τὸν ἁρμόδιον τῷ Θείῳ βαπτίσματι. Ἀποτελέσματα δὲ τοῦ βαπτίσματος συνελόντι φάναι· πρῶτον, ἡ ἄφεσις τοῦ προπατορικοῦ πλημμελήματος, καὶ ὅσων ἄλλων ἁμαρτιῶν πεπραχὼς ἦν ὁ βαπτισθείς· Δεύτερον, ῥύεται ἐκεῖνον τῆς ἀϊδίου ποινῆς, ᾗτινι ὑπέκειτο, εἴτε διὰ τὸ ἀρχέγονον ἁμάρτημα, εἴτε δι' ἃ ἰδικῶς ἔπραξε θανασίμως· τρίτον, δίδωσιν αὐτοῖς τὴν μακάριον ἀθανασίαν· δικαιοῦν γὰρ αὐτοὺς τῶν προημαρτημένων, ναοὺς Θεοῦ ἀποκαθίςησιν. Οὐκ ἔςι δ' εἰπεῖν μὴ λύεσθαι διὰ τοῦ βαπτίσματος πάσας τὰς ὁπωσοῦν πρὸ τούτου ἁμαρτίας, ἀλλὰ μένειν μὲν, οὐκ ἰσχύειν δέ· τοῦτο γὰρ ἀσεβείας τῆς ἐσχάτης ἐςὶ γέμον, καὶ ἄρνησις μᾶλλον, ἢ ὅλως ὁμολογία εὐσεβείας· ἀλλ' ὅτι πᾶσα ἁμαρτία

πρὸ τοῦ βαπτίσματος ἦσα, ἡ γεγονυῖα ἀφανίζεται, καὶ ὡς μὴ οὖσά ποτε ἤ γεγονυῖα λογίζεται. Οἱ γὰρ τύποι τῦ βαπτίσματος, πᾶσαι ἑκάτερον καὶ αἱ προμηνύσαι καὶ τελειῦσαι ῥήσεις τὸ βάπτισμα τὴν τελείαν ὑπαινίττουσι κάθαρσιν. Τοῦτο αὐτὸ καὶ αὐτὰ τὰ τοῦ βαπτίσματος ὀνόματα παριςῶσιν. Εἰ γὰρ βάπτισμα διὰ πνεύματος καὶ πυρὸς· δῆλον, ὅτι καὶ τελεία πᾶσιν ἡ κάθαρσις· τὸ γὰρ πνεῦμα τελείως καθαίρει. Εἰ φῶς· τὸ σκότος ἔλυσεν. Εἰ ἀναγέννησις· παρῆλθε τὰ ἀρχαῖα. Τίνα δὲ ταῦτα, εἰ μὴ τὰ ἁμαρτήματα; Εἰ ἀπενδύεται ὁ βαπτιζόμενος τὸν παλαιὸν ἄνθρωπον· ἄρα καὶ τὴν ἁμαρτίαν. Εἰ ἐνδύεται τὸν Χριςόν· ἄρα ἀναμάρτητος γίνεται ἐνεργείᾳ διὰ τῦ βαπτίσματος. Μακρὰν γὰρ ἀπὸ ἁμαρτωλῶν ὁ Θεός. Τοῦτο καὶ Παῦλος διδάσκει τρανώτερον λέγων· ὥσπερ διὰ τοῦ ἑνὸς ἁμαρτωλοὶ κατεςάθημεν οἱ πολλοὶ, οὕτω διὰ τοῦ ἑνὸς δίκαιοι (Ρωμ. 5, 19.). Εἰ δὲ δίκαιοι· ἄρα ἁμαρτίας ἐλεύθεροι. Οὐ γὰρ δύναται ἐν ταυτῷ εἶναι τὴν ζωὴν καὶ τὸν θάνατον. Εἰ ἀληθῶς ἀπέθανεν ὁ Χριςός· ἄρα καὶ ἀληθὴς ἡ διὰ τῦ Πνεύματος ἄφεσις.

Ἐντεῦθεν δὲ δῆλον πάντα τὰ βαπτισθέντα καὶ κοιμηθέντα βρέφη ἀναμφιβόλως σώζεσθαι, προορισθέντα διὰ τοῦ θανάτου τοῦ Χριςῦ. Εἰ γὰρ ἐκτὸς πάσης ἦσαν ἁμαρτίας· κοινῆς μὲν, ὅτι ἐλυτρώθησαν τῷ Θείῳ λετρῷ· ἰδικῆς δὲ, ὅτι τὰ βρέφη μὴ ἔχοντα ἐνεργείᾳ προαίρεσιν οὐχ' ἁμαρτάνει· ἄρα καὶ σώζεται. Ἐντίθησι δὲ τὸ βάπτισμα καὶ χαρακτῆρα ἀνεξάλεπτον. Ἀδύνατον γὰρ ἀναβαπτισθῆναι τὸν ἅπαξ ὀρθῶς βαπτισθέντα, κἂν καὶ μυρίαις συμβέβηκεν αὐτὸν ὑποπεσεῖν ἁμαρτίαις, ἢ καὶ αὐτῇ ἐξομομώσει τῆς πίςεως. Θέλων γὰρ ἐπιςρέψαι πρὸς Κύριον ἀναλαμβάνει τὴν, ἣν ἀπώλεσεν, υἱοθεσίαν διὰ τοῦ μυςηρίυ τῆς μετανοίας.

## ὍΡΟΣ ιζ΄.

Πιςεύομεν τὸ πανάγιον μυςήριον τῆς ἱερᾶς Εὐχαριςίας, ὅπερ ἀνωτέρω κατὰ τάξιν τέταρτον ἐθέμεθα, ἐκεῖνο εἶναι, ὅπερ ὁ Κύριος παρέδωκε τῇ νυκτὶ, ᾗ παρεδίδου Ἑαυτὸν ὑπὲρ τῆς τȣ̃ κόσμȣ ζωῆς. Λαβὼν γὰρ ἄρτον καὶ εὐλογήσας, ἔδωκε τοῖς ἁγίοις Αὐτοῦ μαθηταῖς καὶ Ἀποςόλοις εἰπών· λάβετε, φάγετε, τοῦτό ἐςι τὸ σῶμά Μου. Καὶ λαβὼν τὸ ποτήριον εὐχαριςήσας εἴρηκε· πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐςι τὸ αἷμά Μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν (Ματθ. 26, 26, 28.).

Τούτου ἐν τῇ ἱερουργίᾳ πιςεύομεν παρεῖναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριςὸν οὐ τυπικῶς, οὐδ᾿ εἰκονικῶς, οὐδὲ χάριτι ὑπερβαλλούσῃ, ὡς ἐν τοῖς λοιποῖς μυςηρίοις, οὐδὲ κατὰ μόνην παρουσίαν, καθὼς τινὲς τῶν Πατέρων εἰρήκασι περὶ τοῦ βαπτίσματος, οὐδὲ κατ᾿ ἐναρτισμὸν, ὥςε ἑνοῦσθαι τὴν Θεότητα τȣ̃ Λόγου τῷ προκειμένῳ τῆς Εὐχαριςίας ἄρτῳ ὑποςατικῶς, καθὼς οἱ ἀπὸ Λουθήρου λίαν ἀμαθῶς καὶ ἀναξίως δοξάζουσιν· ἀλλ᾿ ἀληθῶς καὶ πραγματικῶς, ὥςε μετὰ τὸν ἁγιασμὸν τοῦ ἄρτου καὶ τοῦ οἴνȣ μεταβάλλεσθαι, μετουσιοῦσθαι, μεταποιεῖσθαι, μεταῤῥυθμίζεσθαι τὸν μὲν ἄρτον εἰς αὐτὸ τὸ ἀληθὲς τοῦ Κυρίου σῶμα, ὅπερ ἐγεννήθη ἐν Βηθλεὲμ ἐκ τῆς Ἀειπαρθένου, ἐβαπτίσθη ἐν Ἰορδάνῃ, ἔπαθεν, ἐτάφη, ἀνέςη, ἀνελήφθη, κάθηται ἐκ δεξιῶν τȣ̃ Θεοῦ καὶ Πατρὸς, μέλλει ἐλθεῖν ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ· τὸν δ᾿ οἶνον μεταποιεῖσθαι καὶ μετουσιοῦσθαι εἰς αὐτὸ τὸ ἀληθὲς τοῦ Κυρίου αἷμα, ὅπερ, κρεμαμένου ἐπὶ τοῦ ςαυροῦ, ἐχύθη ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

Ἔτι μετὰ τὸν ἁγιασμὸν τοῦ ἄρτȣ καὶ τοῦ οἴνου, οὐκ ἔτι μένειν τὴν οὐσίαν τοῦ ἄρτου καὶ τοῦ οἴνου, ἀλλ᾿ αὐτὸ τὸ σῶμα καὶ τὸ αἷμα τοῦ

Κυρίου ἐν τῷ τοῦ ἄρτου καὶ τοῦ οἴνου εἴδει καὶ τύπῳ.

Ἔτι αὐτὸ τὸ πανακήρατον τοῦ Κυρίου σῶμα καὶ αἷμα μεταδίδοσθαι καὶ εἰσδύειν εἰς τὸ σόμα καὶ σόμαχον τῶν μετεχόντων εὐσεβῶν τε καὶ ἀσεβῶν. Πλὴν τοῖς μὲν εὐσεβέσι καὶ ἀξίοις ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον προξενεῖν, τοῖς δ᾽ ἀσεβέσι καὶ ἀναξίοις κατάκρισιν καὶ κόλασιν αἰώνιον παραχωρεῖν.

Ἔτι τέμνεσθαι μὲν καὶ διαιρεῖσθαι τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Κυρίου, κατὰ συμβεβηκὸς μέντι, ἤτοι κατὰ τὰ συμβεβηκότα τοῦ ἄρτου καὶ τοῦ οἴνου, καθ᾽ ἃ καὶ ὁρατὰ καὶ ἁπτὰ εἶναι ὁμολογοῦνται, καθ᾽ ἑαυτὰ δὲ μένειν ἄτμητα πάντη καὶ ἀδιαίρετα. Ὅθεν καὶ ἡ Καθολικὴ Ἐκκλησία φησί· „μερίζεται καὶ διαμερίζεται ὁ μεριζόμενος, καὶ „μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος, καὶ οὐ„δέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας (δη„λονότι ἀξίως) ἁγιάζων.“

Ἔτι ἐν ἑκάσῳ μέρει καὶ τμήματι ἐλαχίσῳ τοῦ μεταβληθέντος ἄρτου καὶ οἴνου οὐκ εἶναι μέρος τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου, ἀλλ᾽ ὅλον ὁλικῶς τὸν Δεσπότην Χρισὸν κατ᾽ οὐσίαν, μετὰ ψυχῆς, δηλονότι, καὶ Θεότητος, ἤτοι τέλειον Θεὸν καὶ τέλειον ἄνθρωπον. Ὅθεν καὶ πολλῶν γινομένων ἐν τῇ οἰκουμένῃ, μιᾷ καὶ τῇ αὐτῇ ὥρᾳ, ἱερουργιῶν, μὴ γίνεσθαι πολλὰ σώματα Χρισοῦ, ἀλλ᾽ ἕνα καὶ τὸν αὐτὸν Χρισὸν παρεῖναι ἀληθῶς καὶ πραγματικῶς, καὶ ἓν εἶναι Αὐτοῦ τὸ σῶμα καὶ τὸ αἷμα ἐν πάσαις ταῖς κατὰ μέρος τῶν πισῶν Ἐκκλησίαις. Καὶ τοῦτο οὐχ᾽ ὅτι τὸ ἐν οὐρανοῖς τοῦ Δεσπότου ἐν τοῖς θυσιασηρίοις κάτεισι σῶμα, ἀλλ᾽ ὅτι ὁ τῆς προθέσεως ἐν πάσαις ταῖς κατὰ μέρος Ἐκκλησίαις προκείμενος ἄρτος μεταποιούμενος καὶ μετουσιούμενος, μετὰ τὸν ἁγιασμὸν, γίνεται καὶ ἐσὶν ἓν καὶ τὸ αὐτὸ τῷ ἐν

οὐρανοῖς. Ἓν γὰρ τὸ σῶμα τοῦ Κυρίου ἐν πολλοῖς τόποις, καὶ οὐ πολλά, καὶ διὰ τοῦτο τὸ μυςήριον τοῦτο μάλιςά ἐςι καὶ λέγεται θαυμαςόν, καὶ πίςει μόνῃ καταληπτόν, οὐ σοφίσμασι σοφίας ἀνθρωπίνης, ἧς τὴν ματαίαν καὶ ἀνόητον ἐν τοῖς Θείοις περιέργειαν ἀποσείεται ἡ εὐσεβὴς καὶ Θεοπαράδοτος ἡμῶν θρησκεία.

Ἔτι αὐτὸ τὸ σῶμα καὶ αἷμα τῦ Κυρίου, τὸ ἐν τῷ τῆς Εὐχαριςίας μυςηρίῳ, ὀφείλειν τιμᾶσθαι ὑπερβαλλόντως καὶ προσκυνεῖσθαι λατρευτικῶς. Μία γὰρ ἡ προσκύνησις τοῦ Κυρίȣ καὶ τῦ σώματος καὶ αἵματος τῦ Κυρίȣ.

Ἔτι εἶναι θυσίαν ἀληθῆ καὶ ἱλαςικὴν προσφερομένην ὑπὲρ πάντων τῶν εὐσεβῶν ζώντων καὶ τεθνεώτων καὶ ὑπὲρ ὠφελείας πάντων, ὡς κεῖται ῥητῶς ἐν ταῖς τοῦ μυςηρίȣ τούτȣ εὐχαῖς, ὑπὸ τῶν Ἀποςόλων τῇ Ἐκκλησίᾳ παραδοθείσαις κατὰ τὴν πρὸς αὐτοὺς διαταγὴν τοῦ Κυρίου.

Ἔτι καὶ πρὸ τῆς χρήσεως εὐθὺς μετὰ τὸν ἁγιασμόν, καὶ μετὰ τὴν χρῆσιν τὸ φυλαττόμενον ἐν ταῖς ἱεραῖς θήκαις πρὸς μετάληψιν τῶν ἀποδημῆσαι μελλόντων, ἀληθὲς εἶναι τοῦ Κυρίου σῶμα καὶ κατὰ μηδὲν διαφέρον ἑαυτοῦ, ὥςε πρὸ τῆς χρήσεως μετὰ τὸν ἁγιασμόν, ἐν τῇ χρήσει καὶ μετὰ τὴν χρῆσιν εἶναι κατὰ πάντα τὸ ἀληθὲς τῦ Κυρίȣ σῶμα.

Ἔτι τῇ μετουσίωσις λέξει ȣ̓ τὸν τρόπον πιςεύομεν δηλοῦσθαι, καθ᾽ ὃν ὁ ἄρτος καὶ ὁ οἶνος μεταποιοῦνται εἰς τὸ σῶμα καὶ τὸ αἷμα τῦ Κυρίου· τοῦτο γὰρ ἄληπτον πάντῃ καὶ ἀδύνατον, πλὴν αὐτῦ τῦ Θεῦ, καὶ τοῖς πιςεύȣσιν ἀμάθειαν ἅμα, καὶ ἀσέβειαν ἐπιφέρει· ἀλλ᾽ ὅτι ὁ ἄρτος καὶ ὁ οἶνος μετὰ τὸν ἁγιασμὸν οὐ τυπικῶς, οὐδ᾽ εἰκονικῶς, ȣ̓δὲ χάριτι ὑπαρβαλλούσῃ, οὐδὲ τῇ κοινωνίᾳ ἢ τῇ παρουσίᾳ τῆς Θεότητος μόνης τοῦ Μονογενοῦς μεταβάλλεται εἰς τὸ σῶμα καὶ αἷμα τοῦ

Κυρίου, ἐδὲ συμβεβηκός τι τοῦ ἄρτε καὶ τῦ οἴνε εἰς συμβεβηκός τι τῦ σώματος καὶ αἵματος τῦ Χριςῦ κατά τινα τροπὴν ἢ ἀλλοίωσιν μεταποιεῖται, ἀλλ' ἀληθῶς, καὶ πραγματικῶς, καὶ ἐσιωδῶς γίνεται ὁ μὲν ἄρτος αὐτὸ τὸ ἀληθὲς τῦ Κυρίε σῶμα, ὁ δ' οἶνος αὐτὸ τοῦ Κυρίου αἷμα, ὡς εἴρηται ἀνωτέρω.

Ἔτι μὴ γίνεσθαι ὑπό τινος ἄλλε τὸ τῆς ἱερᾶς Εὐχαριςίας τῦτο μυςήριον, εἰμὴ μόνον ὑπὸ ἱερέως ἐυσεβῦς καὶ ὑπὸ ἐυσεβῦς καὶ νομίμε Ἐπισκόπου τὴν ἱερωσύνην λαβόντος, καθ' ὃν τρόπον ἡ Ἀνατολικὴ Ἐκκλησία διδάσκει. Αὕτη ἐςὶν ἐν συντόμῳ ἡ τῆς Καθολικῆς Ἐκκλησίας καὶ περὶ τῦ μυςηρίε τῦτε δόξα καὶ ἀληθὴς ὁμολογία καὶ ἀρχαιοτάτη παράδοσις, ἣν ἐ δεῖ κολοβῦσθαι κατ' ἐδένα τρόπον ὑπὸ τῶν ἐυσεβεῖν βελομένων, καὶ ἀποσειωμένων τὲς νεωτερισμὲς καὶ τὰς βεβήλες τῶν αἱρετικῶν κενοφωνίας, ἀλλ' ἀναγκαίως σῶαν, καὶ ἀδιάσειςον τηρεῖσθαι τὴν νομοθετηθεῖσαν παράδοσιν. Τὲς γὰρ παραβαίνοντας ἀποποιεῖται καὶ ἀναθεματίζει ἡ Καθολικὴ τῦ Χριςῦ Ἐκκλησία.

## ὍΡΟΣ ιή.

Πιςεύομεν τὰς τῶν κεκοιμημένων ψυχὰς εἶναι ἢ ἐν ἀνέσει, ἢ ἐν ὀδύνῃ, καθ' ὅ τι ἕκαςος ἔπραξεν. Χωριζομένας γὰρ ἀπὸ τῶν σωμάτων παραυτίκα ἢ πρὸς ἐυφροσύνην, ἢ πρὸς λύπην καὶ ςεναγμὸν ἐκδημεῖν, ὁμολογουμένης μέντοι μήτε τῦ ἀπολαύσεως, μήτε τῆς κατακρίσεως τελείας. Μετὰ γὰρ τὴν κοινὴν ἀνάςασιν, ὅτε ἡ ψυχὴ ἑνωθείη τῷ σώματι, μεθ' οὗ καλῶς ἢ πονηρῶς ἐπολιτεύσατο, ἀπολήψεται ἕκαςος τὸ τέλειον, ἢ τῆς ἀπολαύσεως, ἢ τῆς κατακρίσεως δηλονότι.

Τοὺς δὲ συμφθαρέντας θανασίμοις πλημμελήμασι, καὶ μὴ ἐν ἀπογνώσει ἀποδημήσαντας, ἀλλὰ

μετανοήσαντας μὲν ἔτι περιόντας ἐν τῷ μετὰ σώματος βίῳ, μὴ ποιήσαντας δὲ οὐδ᾽ ὁντιναοῦν καρπὸν μετανοίας, (ἐκχέαι, δάκρυα δηλονότι, καὶ γονυπετῆσαι ἐν γρηγορήσει προσευχῶν, θλιβῆναι, πτωχοὺς παραμυθῆσαι, καὶ τέως ἐν ἔργοις τὴν πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπην ἐπιδεῖξαι), τούτων καὶ αὐτῶν τὰς ψυχὰς ἀπέρχεσθαι εἰς ᾅδην, καὶ ὑπομένειν τὴν ἕνεκα ὧν εἰργάσαντο ἁμαρτημάτων ποινήν· εἶναι δ᾽ ἐν συναισθήσει τῆς ἐκῆθεν ἀπαλλαγῆς. Ἐλευθεροῦσθαι δὲ ὑπὸ τῆς ἄκρας ἀγαθότητος, διὰ τῆς δεήσεως τῶν ἱερέων, καὶ εὐποιϊῶν, ἃ τῶν ἀποιχομένων ἕνεκα οἱ ἑκάϛου συγγενεῖς ἀποτελοῦσι· μεγάλα δυναμένης μάλιϛα τῆς ἀναιμάκτου Θυσίας, ἣν ἰδίως ὑπὲρ τῶν κεκοιμημένων συγγενῶν ἕκαϛος, καὶ κοινῶς ὑπὲρ πάντων ἡ Καθολικὴ καὶ Ἀποϛολικὴ ὁσημέραι ποιεῖ Ἐκκλησία. Ἐννοεμένου μέντοι καὶ τούτου, τοῦ, μὴ εἰδέναι ἡμᾶς δηλαδὴ τὸν καιρὸν τῆς ἀπαλλαγῆς· ὅτι γὰρ γίνεται ἐλευθερία τῶν τοιούτων ἀπὸ τῶν δεινῶν, καὶ πρὸ τῆς κοινῆς ἀναϛάσεώς τε καὶ κρίσεως, οἴδαμεν καὶ πιϛεύομεν, πότε δὲ, ἀγνοοῦμεν.

## ΕΡΩΤΗΣΕΙΣ ΤΙΝΕΣ ΚΑΙ ΠΡΟΣ ΑΥΤΑΣ ΑΠΟΚΡΙΣΕΙΣ.

### Ἐρώτησις α΄.

Εἰ δεῖ τὴν Θείαν Γραφὴν κοινῶς παρὰ πάντων τῶν Χριϛιανῶν ἀναγινώσκεσθαι;

### Ἀπόκρισις.

Οὔ. Τὴν πᾶσαν γὰρ Γραφὴν Θεόπνευϛον καὶ ὠφέλιμον οἴδαμεν, καὶ ὅτω τὸ ἀναγκαῖον ἐχȣσαν μεθ᾽ ἑαυτῆς, ὥϛε χωρὶς αὐτῆς ἀδύνατον

ὁπωσῦν εὐσεβεῖν· ὐ μὴν καὶ ὑπὸ πάντων εὐκόλως καὶ πάνυ ὠφελίμως ἀναγινώσκεσθαι ταύτην, ἀλλ᾽ ὑπὸ μόνων τῶν μετὰ τῆς πρεπέσης ἐρεύνης τοῖς βάθεσιν ἐγκυπτόντων τῦ Πνεύματος καὶ εἰδότων οἷς τρόποις ἡ Θεία Γραφὴ ἐρευνᾶται, καὶ διδάσκεται, καὶ ὅλως ἀναγινώσκεται. Ὥςε παντὶ εὐσεβεῖ ἐπιτέτραπται μὲν ἀκϐειν τὰ τῆς Γραφῆς, ἵνα πιςεύῃ τῇ καρδίᾳ εἰς δικαιοσύνην, ὁμολογῇ δὲ τῷ ςόματι εἰς σωτηρίαν, ἀναγινώσκειν δὲ ἔνια τῆς Γραφῆς μέρη, καὶ μάλιςα τῆς Παλαιᾶς, ἀπηγορεύεται τῶν εἰρημένων αἰτίων καὶ τῶν ὁμοίων τϐτοις ἕνεκα. Καὶ ἔςιν ἴσον παραγγέλλειν τοῖς ἀγυμνάςοις μὴ ἀναγινώσκειν ὡσαύτως τὴν πᾶσαν ἱερὰν Γραφὴν, καὶ τοῖς βρέφεσιν ἐντέλλεσθαι μὴ ἅπτεσθαι ςερεᾶς τροφῆς.

## Ἐρώτησις β΄.

Εἰ σαφής ἐςιν ἡ Γραφὴ πᾶσι τοῖς ἀναγινώσκϐσι Χριςιανοῖς;

## Ἀπόκρισις.

Εἰ σαφὴς ἦν ἡ Θεία Γραφὴ πᾶσι τοῖς ἀναγινώσκϐσι Χριςιανοῖς· ὐκ ἂν ὁ Κύριος ἐρευνᾷν ταύτην τὺς βϐλομένϐς σωτηρίας τυχεῖν ἐπέτρεπε, καὶ τὸ χάρισμα τῆς διδασκαλίας ματαίως τῷ Παύλῳ ἐλέγετο τεθῆναι ὑπὸ τῦ Θεῦ τῇ Ἐκκλησίᾳ· καὶ ὁ Πέτρος ὐκ ἂν, περὶ τῶν τῦ Παύλϐ ἐπιςολῶν, ἔχειν τινὰ δυσνόητα ἔλεγε. Δῆλον ὖν, ὡς πολὺ τὸ βάθος ἔχειν τὴν Γραφὴν, καὶ τὸ μέγεθος τῶν ἐννοιῶν, καὶ δεῖσθαι ἐπιςημόνων καὶ Θείων ἀνδρῶν πρὸς ἔρευναν, καὶ ἀληθῆ κατάληψιν, καὶ γνῶσιν ὀρθὴν καὶ συνῳδὸν τῇ πάσῃ Γραφῇ, καὶ τῷ Δημιϐργῷ ταύτης Ἁγίῳ Πνεύματι. Ὥςε τοῖς ἀναγεννηθεῖσιν, εἰ καὶ γνώριμος ἡ περὶ Τριάδος πίςις, καὶ ἡ τοῦ

Υἱῦ τῦ Θεῦ ἐνανθρώπησις, τὰ πάθη, ἡ ἀνάςασις, ἡ εἰς ὐρανὺς ἄνοδος, ὁ περὶ τῆς παλιγγενεσίας καὶ κρίσεως λόγος, ὧν ἕνεκα καὶ πολλοὶ θάνατον ὑπομεῖναι ὐκ ὤκνησαν· ὐκ ἀναγκαῖον δὲ, μᾶλλον δὲ ἀδύνατον πᾶσιν εἰδέναι, καὶ ἃ τὸ Πνεῦμα τὸ Ἅγιον μόνοις τοῖς ἐγγεγυμνασμένοις ἐπὶ σοφίᾳ καὶ ἁγιότητι φανεροῖ.

## Ἐρώτησις γ'.

**Περὶ τῶν Ἁγίων Εἰκόνων καὶ τῆς προσκυνήσεως τῶν Ἁγίων πῶς ὀφείλομεν φρονεῖν;**

## Ἀπόκρισις.

Τῶν Ἁγίων ὄντων καὶ ὁμολογυμένων παρὰ τῆς Καθολικῆς Ἐκκλησίας πρεσβευτῶν, ὃν τρόπον εἴρηται ἐν τῷ ὀγδόῳ κεφαλαίῳ, καιρὸς εἰπεῖν, ὅτι καὶ τιμῶμεν αὐτὺς, ὡς φίλυς Θεοῦ, καὶ ὡς ὑπὲρ ἡμῶν δεομένυς τῷ τῶν ὅλων Θεῷ. Τιμῶμεν δὲ τύτους διττῶς. Καθ' ἕνα μὲν τρόπον τὴν Μητέρα τῦ Θεῦ Λόγου, ὃν καὶ ὑπερδυλικὸν φαμὲν. Εἰ γὰρ καὶ ὡς ἀληθῶς δύλη ἡ Θεοτόκος τοῦ μόνυ Θεοῦ, ἀλλὰ καὶ Μήτηρ, ὡς τὸν ἕνα τῆς Τριάδος γεννήσασα σαρκικῶς, διὸ καὶ ἀσυγκρίτως ὑπερέχειν ὑμνεῖται πάντων Ἀγγέλων τε καὶ Ἁγίων, ὅθεν καὶ ὑπερδυλικὴν Αὐτῇ ἀπονέμομεν τὴν προσκύνησιν. Κατὰ δεύτερον δὲ τρόπον, ὃν καὶ δυλικὸν ὀνομάζομεν, προσκυνῦμεν, εἴτυν τιμῶμεν τὺς Ἁγίυς Ἀγγέλους, Ἀποςόλυς, Προφήτας, Μάρτυρας καὶ ἁπλῶς πάντας τὺς Ἁγίυς.

Πρὸς τύτοις προσκυνῦμεν καὶ τιμῶμεν τὸ ξύλον τῦ τιμίυ καὶ ζωοποιῦ Σταυρῦ, ἐν ᾧ ὁ Σωτὴρ ἡμῶν τὸ κοσμοσωτήριον εἰργάσατο πάθος, καὶ τὸν τύπον τῦ ζωοποιῦ Σταυρῦ, τὴν ἐν Βηθλεὲμ φάτνην, δι' ἧς τῆς ἀλογίας ἐῤῥύσθημεν, τὸν τόπον

τȣ̃ Κρανίȣ, τὸν ζωηφόρον Τάφον καὶ τὰ λοιπὰ ἅγια προσκυνήματα· τά τε ἱερὰ Ἐυαγγέλια καὶ τὰ ἱερὰ σκέυη, δι᾽ ὧν ἡ ἀναίμακτος ἐπιτελεῖται Θυσία· μνήμαις τε ἐτησίοις καὶ δημοσίοις ἑορταῖς, καὶ Θείοις ἱδρύμασι καὶ ἀναθήμασι τȣ̀ς Ἁγίους γεραίρομεν καὶ τιμῶμεν.

Ἔπειτα δὲ καὶ τὴν εἰκόνα τȣ̃ Κυρίȣ ἡμῶν Ἰησȣ̃ Χριςȣ̃, καὶ τῆς Ὑπεραγίας Θεοτόκȣ, καὶ πάντων τῶν Ἁγίων προσκυνȣ̃μεν καὶ τιμῶμεν καὶ ἀσπαζόμεθα, ναὶ μὴν καὶ τῶν Ἁγίων Ἀγγέλων, ὡς ὤφθησαν ἐνίοις τῶν τε Προπατόρων καὶ Προφητῶν. Ἱςορȣ̃μεν δὲ καὶ τὸ Πανάγιον Πνεῦμα, ὡς ὤφθη, ἐν εἴδει περιςερᾶς.

Εἰ δέ τινες εἰδωλολατρεῖν ἡμᾶς Ἁγίȣς, καὶ εἰκόνας Ἁγίων, καὶ τὰ λοιπὰ προσκυνȣ̃ντας λέγȣσι, μάταιον ἡγȣ́μεθα καὶ ἀδρανές. Ἡμεῖς γὰρ μόνῳ τῷ ἐν Τριάδι Θεῷ λατρέυομεν καὶ οὐδενὶ ἑτέρῳ. Τȣ̀ς δὲ Ἁγίους τιμῶμεν διττῶς. Πρῶτον μὲν κατὰ τὴν πρὸς Θεὸν ἀναφοράν, ἐπειδὴ Ἐκείνȣ ἕνεκα τιμῶμεν αὐτούς. Καὶ καθ᾽ ἑαυτȣ̀ς, ὅτι ζῶσαι εἰσιν εἰκόνες τȣ̃ Θεȣ̃. Τὸ δὲ καθ᾽ ἑαυτοὺς, διώρισαι, ὅτι δουλικόν. Τὰς δὲ Ἁγίας εἰκόνας, σχετικῶς, ὡς τῆς πρὸς ἐκείνας τιμῆς ἐπὶ τὰ πρωτότυπα ἀναφερομένης. Ὁ γὰρ εἰς τὴν εἰκόνα προσκυνῶν διὰ τῆς εἰκόνος τὸ πρωτότυπον προσκυνεῖ, καὶ ἡ δόξα ȣ̓ μερίζεται, ȣ̓δ᾽ ὅλως σχίζεται τῆς τε εἰκόνος καὶ τȣ̃ εἰκονιζομένȣ, καὶ ἐν τ᾽ αὐτῷ γίνεται, ὡς ἡ εἰς τὸν Βασιλικὸν πρέσβυν γινομένη.

Ἃ δὲ πρὸς σύςασιν καινοτομίας αὐτῶν παρὰ τῆς Γραφῆς λαμβάνȣσιν, ȣ̓χ ȣ̔́τως αὐτοῖς βοηθεῖ, ὡς βȣ́λονται, ἀλλὰ μάλιςα ἡμῖν συνῳδὰ φαίνεται. Ἡμεῖς γὰρ τὴν Θείαν Γραφὴν ἀναγινώσκοντες ἐξετάζομεν καιρὸν καὶ πρόσωπον, παράδειγμα καὶ αἰτίαν, ὅθεν καὶ τὸν αὐτὸν Θεὸν ποτὲ μὲν λέγοντα· ȣ̓ ποιήσεις σεαυτῷ εἴδωλον, ȣ̓́τε ὁμοίωμα, ȣ̓δὲ προσκυνήσεις, ȣ̓δὲ λατρέυσεις

αὐτοῖς· ποτὲ δὲ προςάττοντα γενέσθαι Χερεβίμ. Καὶ ἔτι βόας καὶ λέοντας γινόμενα ἐν τῷ ἱερῷ θεωρȢντες, ȣ̓ πεισματικῶς τȣ́των τὴν ἔννοιαν θεωρȣ̃μεν (ἐν γὰρ τῇ πεισμονῇ οὐκ ἔςι πίςις)· ἀλλ', ὡς εἴρηται, καιρὸν καὶ τὰ λοιπὰ θεωρȢντες τῆς ὀρθῆς περὶ τȣ́των δόξης ἐπιτυγχάνομεν. Καὶ τὸ, οὐ ποιήσεις σεαυτῷ εἴδωλον, ἢ ὁμοίωμα, τ' αὐτὸν ἡγȣ́μεθα τῷ· ȣ̓ προσκυνήσεις θεȣ̀ς ἀλλοτρίȣς, ἤτȣν μὴ εἰδωλολατρήσῃς. Οὕτω γὰρ καὶ ἡ ἀπὸ τȣ̃ καιρȣ̃ τῶν Ἀποςόλων ἐπικρατήσασα συνήθεια τῇ Ἐκκλησίᾳ τȣ̃ προσκυνεῖσθαι σχετικῶς τὰς ἁγίας εἰκόνας, καὶ ἡ μόνῳ τῷ Θεῷ λατρεία διασωθείη, καὶ ὁ Θεὸς ἐκ ἐναντίως λέγων Ἑαυτῷ φανείη. Ὅθεν περὶ μόνης τῆς εἰδωλολατρείας ȣ̓́σης τῆς ἐντολῆς, εὑρίσκομεν καὶ Χερȣβὶμ γεγονότα καὶ τιμώμενα, καὶ εἴδη εἴτȣν ὁμοιώματα, ἐν οἷς οἱ Ἄγγελοι ἐφαίνοντο, προσκυνηθέντα.

Οὓς δὲ προσφέρȣσι τῶν Ἁγίων, ὡς λέγοντας μὴ ἐξὸν προσκυνεῖν τὰς εἰκόνας, ἡμῖν μᾶλλον βοηθεῖν ἐκείνους ἡγȣ́μεθα, ἐπεὶ ἐκεῖνοι ἀγωνιςικῶς διαλεγόμενοι, καὶ κατὰ τῶν λατρευτικῶς προςκυνȣ́ντων τὰς ἁγίας εἰκόνας, καὶ κατὰ τῶν φερόντων εἰς τὰς Ἐκκλησίας τὰς εἰκόνας τῶν τεθνηκότων συγγενῶν ἐκείνων, ἐφέροντο, καὶ ἀναθέματι τοὺς ȣ̓́τω ποιȣ̃ντας καθυποβάλλȣσιν, οὐ κατὰ τῆς ὀρθῆς προσκυνήσεως τῶν τε Ἁγίων, καὶ ἁγίων εἰκόνων, καὶ τȣ̃ τιμίȣ Σταυρȣ̃, καὶ τῶν λοιπῶν, ὧν εἴρηται, ὅπȣ μάλιςα, καὶ ἀπὸ τȣ̃ καιροῦ τῶν Ἀποςόλων εἶναι τὰς ἁγίας εἰκόνας ἐν τῇ Ἐκκλησίᾳ, καὶ προσκυνεῖσθαι παρὰ τῶν πιςῶν, πλεῖςοι ὅσοι καὶ ἱςοροῦσι καὶ κηρύττȣσι, μεθ' ὧν καὶ μεθ' ȣ̓̃ς ἡ Ἁγία Οἰκȣμενικὴ ἑβδόμη Σύνοδος καταισχύνει πᾶσαν αἱρετικῶν βδελυρίαν.

Ἐπειδὴ σαφέςατα μὲν δίδωσιν ἐννοεῖν, ὅπως δεῖ προσκυνεῖν τὰς ἁγίας εἰκόνας, καὶ τὰ προειρημένα ἄνωθεν, ἀναθεματίζει δὲ καὶ ἀφορισμῷ καθ-

υποβάλλει τὲς ἢ προσκυνὲντας λατρευτικῶς τὰς εἰκόνας, ἢ λέγοντας τὲς ὀρθοδόξες εἰδωλολατρεῖν προσκυνὲντας τὰς εἰκόνας· ἀναθεματίζομεν ἒν καὶ ἡμεῖς μετ᾽ ἐκείνων τοὺς προσκυνὲντας, ἢ Ἅγιον, ἢ Ἄγγελον, ἢ εἰκόνα, ἢ Σταυρὸν, ἢ λείψανον Ἁγίων, ἢ ἱερὸν σκεῦος, ἢ Εὐαγγέλιον, ἢ ἄλλοτι, ὅσα ἐν τῷ ἐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ, καὶ ἐν τῇ θαλάσσῃ λατρευτικῶς, καὶ Μόνῳ τῷ ἐν Τριάδι Θεῷ τὴν λατρευτικὴν προσκύνησιν ἀπονέμομεν. Ἀναθεματίζομεν δὲ καὶ τὲς λέγοντας τὴν προσκύνησιν τῶν εἰκόνων εἰκονολατρείαν, καὶ μὴ προσκυνὲντας αὐτὰς, καὶ μὴ τιμῶντας τὸν Σταυρὸν, καὶ τὲς Ἁγίες, ὡς ἡ Ἐκκλησία παρέδωκε.

Καὶ τοὺς Ἁγίες καὶ τὰς ἁγίας εἰκόνας προσκυνὲμεν, ὃν εἴρηται τρόπον, καὶ ἱςορὲμεν ταύτας εἰς καλλοπισμὸν τῶν ναῶν, καὶ ἵν᾽ ὦσι βιβλία τῶν ἀμαθῶν, καὶ πρὸς μίμησιν τῶν ἀρετῶν τῶν Ἁγίων, καὶ ἀνάμνησιν, καὶ ἔρωτος αὔξησιν, καὶ πρὸς ἐγρήγορσιν τὲ ἐπικαλεῖσθαι ἀεὶ τὸν μὲν Κύριον, ὡς Δεσπότην καὶ Πατέρα, τὲς δὲ Ἁγίες, ὡς δέλες μὲν Ἐκείνε, βοηθὲς δὲ καὶ μεσίτας ἡμῶν.

Ἀλλὰ οἱ δὲ αἱρετικοὶ καὶ τὴν προσευχὴν τῶν εὐσεβῶν πρὸς τὸν Θεὸν κακίζουσιν, ἔπειτα ἐκ οἴδαμεν, ὅπως αὐτὴν μόνων τῶν μοναχῶν κατηγορὲσι. Τὴν προσευχὴν τοίνυν ἡμεῖς ὁμιλίαν μετὰ Θεὲ καὶ πρεπόντων ἀγαθῶν αἴτησιν, παρ᾽ Οὗ λαβεῖν ἐλπίζομεν, ἀνάβασίν τε νὲ πρὸς Θεὸν, καὶ εὐσεβῆ πρὸς Θεὸν ἀπευθυνομένην διάθεσιν, ζήτησιν τῶν ἀνωτέρω, ψυχῆς ἁγίας βοήθημα, λατρείαν τῷ Θεῷ κεχαρισμένην, σημεῖον μετανοίας καὶ βεβαίας ἐλπίδος οἴδαμεν· γίνεσθαι δὲ ἢ νῷ μόνῳ, ἢ νοΐ καὶ φωνῇ· θεωρεῖσθαι ἐν αὐτῇ θεωρίαν τῆς ἀγαθότητος, καὶ τὲ ἐλέες τὲ Θεὲ, ἀναξιότητα τὲ αἰτὲντος, καὶ εὐχαριςίαν, καὶ ἐπαγγελίαν τῆς μελλέσης πρὸς Θεὸν ὑποτάξεως· ἔχειν δὲ αὐτὴν πίςιν, καὶ ἐλπίδα, καὶ διαμονὴν, καὶ τήρησιν τῶν

ἐντολῶν, καὶ κατὰ πρῶτον λόγον αἴτησιν τῶν ȣ̓ρανίων· πολλȣ̀ς δὲ ἔχειν τȣ̀ς καρπȣ̀ς, ȣ̔̀ς περιττὸν ἐγκαταλέγειν· γίνεσθαι δὲ συνεχῶς, ἐπιτελεῖσθαι δὲ ὀρθίῳ καὶ γονυκλίτῳ σχήματι. Τοσαύτη δὲ ἡ παρ᾽ αὐτῆς ὠφέλεια, ὥϛε καὶ ψυχῆς τροφὴν καὶ ζωὴν ὁμολογεῖσθαι. Συνάγεται καὶ ταῦτα πάντα ἐκ τῆς Θείας Γραφῆς, ὥϛε εἴτις τȣ́των ἀπόδειξιν αἰτεῖ, ὅμοιος ἄφρονι, ἢ τυφλῷ περὶ τȣ̃ ἡλιακȣ̃ φωτὸς ὥρᾳ μεσημβρίας καὶ αἰθρίας ἀμφισβητȣ̃ντι.

Οἱ δὲ αἱρετικοὶ βȣλόμενοι μηδὲν, ὧν Χριϛὸς ἐπέτρεψεν ἀπαράθραυϛον ἐᾶσαι, καὶ ταύτης καθήψαντο. Αἰσχυνόμενοι δ᾽ ȣ̔́τω φανερῶς ἀσεβεῖν, τέως μὲν περὶ προσευχῆς, ἁπλῶς μὴ γίνεσθαι οὐ κωλύȣσι, ταῖς τῶν μοναχῶν δ᾽ εὐχαῖς ταράττονται, ὅπερ καὶ αὐτὸ ποιȣ̃σιν, ἵνα τοῖς ἁπλοϊκοῖς μῖσος κατὰ τῶν μοναχῶν θῶσι πρὸς τὸ μὴ ὅλως ἀνέχεσθαι τȣ́τȣς, τυχὸν ὡς βεβήλȣς καὶ νεωτεριϛὰς ὁρᾷν, μὴ ὅτι γε ἀνέχεσθαι τὰ τῆς εὐσεβȣ̃ς, καὶ ὀρθοδόξου πίϛεως δόγματα διδάσκεσθαι παρ᾽ αὐτῶν. Σοφὸς γὰρ ὁ ἀντίδικος περὶ τὸ κακὸν καὶ ἀγχίνȣς περὶ τὰ μάταια, ὅθεν καὶ τοῖς ὀπαδοῖς αὐτȣ̃ (οἷοι οἱ αἱρετικοὶ ȣ̔̃τοι μάλιϛα) ȣ̓κ ἔϛι τοσȣ̃τον καταθύμιον εὐσεβεῖν, ὅσον περιπέδαϛον τὸ ἀείποτε ἐκτραχηλιάζειν ἐπὶ βάθει κακῶν, καὶ ἐκρήγνυσθαι εἰς τόπȣς, ȣ̔̀ς ȣ̓κ ἐπισκοπεῖ Κύριος.

Ἐρωτητέον ȣ̓̃ν αὐτȣ̀ς, τίνας φασὶν εἶναι τὰς τῶν μοναχῶν προσευχάς; καὶ εἰ μὲν τȣ̀ς μοναχοὺς φαῖεν ἐξ ἑαυτῶν τινὰ ἀλλόκοτα πεποιηκέναι, καὶ ἀπᾴδοντα τῇ ὀρθοδόξῳ τῶν Χριϛιανῶν θρησκείᾳ· καὶ αὐτοὶ ξυντιθέμεθα, καὶ τȣ̀ς μοναχȣ̀ς ȣ̓ μόνον οὐ μοναχȣ̀ς, ἀλλ᾽ ȣ̓δὲ Χριϛιανοὺς φαμὲν. Εἰ δ᾽ οἱ μοναχοὶ διηγȣ̃νται ἐν ἐκϛάσει τὴν δόξαν, καὶ τὰ θαυμάσια τȣ̃ Θεȣ̃, καὶ συνεχῶς, καὶ ἀδιαλείπτως, καὶ ἐν παντὶ καιρῷ τὸ Θεῖον, ὡς δυνατὸν ἀνθρώπῳ, ὕμνοις καὶ δοξολογίαις καταγεραίρȣσι, πῇ μὲν τὰ τῆς Γραφῆς δηλονότι ψάλλοντες, πῇ δὲ τȣ̀ς ὕμνȣς ἐκ τῆς

*Γραφῆς συνάγοντες, εἴτεν συνῳδὰ ἐκείνῃ φθεγγόμενοι· Ἀποςολικὸν καὶ Προφητικὸν, μᾶλλον δὲ Κυριακὸν ἔργον αὐτῦς πληρῦν ὁμολογῦμεν.*

*Ὅθεν καὶ ἡμεῖς παρακλητικὴν, τριῴδιον καὶ μηναῖα ψάλλοντες μηδὲν ἀπᾷδον Χριςιανοῖς ἔργον πληρῦμεν. Πᾶσαι γὰρ αἱ τοιαῦται βίβλοι περὶ ἡνωμένης καὶ διακεκριμένης Θεολογίας διαλέγονται, καὶ ὕμνοις πῆ μὲν συνηγμένοις ἐκ τῆς Θείας Γραφῆς, πῆ δὲ κατὰ τὴν χορηγίαν τῦ Πνεύματος, ἵν᾽ ὦσι τοῖς μέλεσιν αἱ λέξεις κατάλληλοι, δι᾽ ἑτέρων λέξεων τὰ τῆς Γραφῆς ᾄδομεν. Ἔπειτα ἵν᾽ ὅλως ᾖ κατάδηλον, ὅτι τὰ τῆς Γραφῆς ἀεὶ ψάλλομεν, ἐν ἑκάςῳ τῶν ὕμνων λεγομένῳ τροπαρίῳ ςῖχον τῆς Γραφῆς ἐπιλέγομεν. Εἰ δὲ καὶ θηκαρᾶ, καὶ ἄλλας τοῖς πάλαι Πατρᾶσι πονηθείσας εὐχὰς ψάλλομεν καὶ ἀναγινώσκομεν· εἰπάτωσαν ὗτοι ποῖον ἐκείνων τὸ βλάσφημον καὶ μὴ εὐσεβὲς, καὶ μετ᾽ ἐκείνων τῦτυς ἀποδιώξομεν.*

*Εἰ δὲ καὶ μόνον τῦτο φασὶ, τὸ συνεχῶς καὶ ἀδιαλείπτως προσεύχεσθαι, κακόν τί αὐτοῖς καὶ ἡμῖν; μαχέσθωσαν Χριςῷ (καθάπερ καὶ μάχονται) εἰπόντι τὴν τῦ ἀδίκυ κριτοῦ παραβολὴν πρὸς τὸ δεῖν συνεχῶς προσεύχεσθαι, καὶ διδάξαντι ἀγρυπνεῖν καὶ εὔχεσθαι, φυγεῖν τὰ θλιβερὰ καὶ ςαθῆναι ἔμπροσθεν τοῦ Υἱῦ τῦ ἀνθρώπου· μαχέσθωσαν Παύλῳ πρώτης πρὸς Θεσσαλ. κεφαλαίῳ πέμπτῳ, καὶ ἀλλαχῦ ἐν πολλοῖς. Ἐῶ λέγειν τοὺς Θείυς τῆς Καθολικῆς Ἐκκλησίας καθηγεμόνας ἀπὸ Χριςῦ ἄχρις ἡμῶν· ἀρκεῖ γὰρ αὐτοῖς πρὸς αἰσχύνην τὸ σύντονον τῆς προσευχῆς τῶν τε Προπατόρων, Ἀποςόλων, καὶ Προφητῶν.*

*Εἰ ὗν τὰ τῶν μοναχῶν ἐςὶ τὰ τῶν Ἀποςόλων καὶ Προφητῶν, δὸς δ᾽ εἰπεῖν, καὶ τῶν Ἁγίων Πατέρων καὶ τῶν Προπατόρων αὐτῦ τῦ Χριςοῦ· δῆλον ὅτι αἱ τῶν μοναχῶν εὐχαὶ καρποὶ εἰσὶ τῦ τῶν χαρισμάτων Δοτῆρος Ἁγίου Πνεύμα-*

τος. Ἃ δὲ αἱρετικοὶ κεκαινοτομήκασιν ἔν τε τοῖς περὶ Θεοῦ καὶ τῶν Θείων βλασφημοῦντες, καὶ τὴν Θείαν Γραφὴν παρεξηγούμενοι, κολοβοῦντες καὶ καθυβρίζοντες, τοῦ διαβόλου εἰσὶ σοφίσματά τε καὶ ἐφευρέματα.

Ἀλυσιτελὲς δὲ καὶ τὸ, ἀδύνατον τῇ Ἐκκλησίᾳ βρωμάτων τινῶν ἀποχὰς καὶ νηστείας διατάττειν ἄνευ βίας καὶ τυραννίδος. Ἡ γὰρ Ἐκκλησία πρὸς νέκρωσιν τῆς σαρκὸς καὶ ὅλως τῶν παθῶν, μάλλα καλῶς ποιοῦσα διατάττει ἐπιμελῶς τὴν προσευχὴν καὶ τὴν νηστείαν, ἧς ἐρασαὶ καὶ τύποι γεγόνασιν οἱ Ἅγιοι πάντες· δι᾽ ὧν τῇ ἄνωθεν χάριτι καθαιρόμενος ὁ ἀντίδικος ἡμῖν διάβολος σὺν τοῖς στρατεύμασι καὶ ταῖς δυνάμεσιν αὐτοῦ· ῥαδίως τελειοῦται ὁ προκείμενος τοῖς εὐσεβέσι δρόμος. Ταῦτα οὖν σκεπτομένη ἡ ἄπηλος ἀπανταχοῦ Ἐκκλησία, οὐ βιάζει, οὐδὲ τυραννεῖ, ἀλλὰ παρακαλεῖ, νουθετεῖ, διδάσκει τὰ τῆς Γραφῆς, καὶ πείθει τῇ δυνάμει τοῦ Πνεύματος.

**Ἐν Κωνσταντινουπόλει, κατὰ τὸ ‚αψκγ ἔτος τὸ Σωτήριον, ἐν μηνὶ Σεπτεμβρίῳ.**

Ἱερεμίας, ἐλέῳ Θεοῦ, Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης, οἰκείᾳ χειρὶ ὑπέγραψα, καὶ ἀποφαίνομαι καὶ ὁμολογῶ ταύτην εἶναι τὴν Ὀρθόδοξον πίστιν τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ Ἀποστολικῆς, Καθολικῆς καὶ Ἀνατολικῆς Ἐκκλησίας.

Ἀθανάσιος, ἐλέῳ Θεοῦ, Πατριάρχης τῆς μεγάλης Θεοῦ πόλεως Ἀντιοχείας, οἰκείᾳ χειρὶ ὑπέγραψα, καὶ συναποφαίνομαι

καὶ βεβαιῶ καὶ ὁμολογῶ τάυτην εἶναι τὴν Ὀρθόδοξον πίςιν τῆς καθ' ἡμᾶς τοῦ Χριςοῦ καὶ Ἀποςολικῆς, Καθολικῆς καὶ Ἀνατολικῆς Ἐκκλησίας.

Χρύσανθος, ἐλέῳ Θεοῦ, Πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, οἰκείᾳ χειρὶ ὑπέγραψα, καὶ ἀποφαίνομαι, καὶ ὁμολογῶ τάυτην εἶναι τὴν Ὀρθόδοξον πίςιν τῆς καθ' ἡμᾶς τοῦ Χριςȣ Ἀποςολικῆς, Καθολικῆς καὶ Ἀνατολικῆς Ἐκκλησίας.

Ὁ Ἡρακλείας Καλλίνικος, οἰκείᾳ χειρὶ ὑπέγραψα, συμφθεγγόμενος τὰ αὐτὰ τοῖς ἀνωτέρω ἁγίοις Πατριάρχαις καρδίᾳ καὶ ςόματι, ἃ καὶ κηρύττω ἄχρις ἐσχάτης με ἀναπνοῆς.

Ὁ Κυζίκου Ἀντόνιος, ὁμολογῶ τάυτην εἶναι τὴν δόξαν τῆς Καθολικῆς, Ἀνατολικῆς Ἐκκλησίας.

Ὁ Νικομηδείας Παΐσιος, οἰκείᾳ χειρὶ ὑπέγραψα, καὶ ὁμολογῶ καὶ κηρύττω τάυτην εἶναι τὴν δόξαν τῆς Καθολικῆς καὶ Ἀνατολικῆς Ἐκκλησίας.

Ὁ Νικαίας Γεράσιμος, οἰκείᾳ χειρὶ ὑπέγραψα, καὶ ὁμολογῶ τάυτην εἶναι τὴν δόξαν τῆς Καθολικῆς καὶ Ἀνατολικῆς Ἐκκλησίας.

Ὁ Χαλκιδῶνος Παχώμιος, οἰκείᾳ χειρὶ ὑπέγραψα, καὶ ὁμολογῶ καὶ κηρύττω τάυτην εἶναι τὴν δόξαν τῆς Καθολικῆς καὶ Ἀνατολικῆς Ἐκκλησίας.

Ὁ Θεσσαλονίκης Ἰγνάτιος, οἰκείᾳ χειρὶ

ὑπέγραψα, καὶ ὁμολογῶ καὶ κηρύττω ταύτην εἶναι τὴν δόξαν τῆς Καθολικῆς καὶ Ἀνατολικῆς Ἐκκλησίας.

Ὁ Φιλιπουπόλεως Ἄνθιμος, οἰκείᾳ χειρὶ ὑπέγραψα, ταύτην εἶναι τὴν δόξαν ὁμολογῶν καὶ κηρύττων τῆς Ἀνατολικῆς καὶ Καθολικῆς Ἐκκλησίας.

Ὁ Βάρνας Καλλίνικος, οἰκείᾳ χειρὶ ὑπέγραψα, καὶ ὁμολογῶ καὶ κηρύττω ταύτην εἶναι τὴν δόξαν τῆς Καθολικῆς καὶ Ἀνατολικῆς Ἐκκλησίας.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000051204

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ